B

E mancano
alle ...
(latini)

~~PONTII~~

...RVNII

ΝΙΚΑΝΔΡΟΥ

ΘΗΡΙΑΚΑ.

Τοῦ αὐτοῦ ἀλεξιφάρμακα.

Ἑρμηνεία τοῦ ἀνωνύμου συγγραφέως εἰς Θηριακά.

Σχόλια διαφόρων συγγραφέων εἰς ἀλεξιφάρμακα.

NICANDRI

THERIACA.

Eiuſdem Alexipharmaca.

Interpretatio innominati autoris in Theriaca.

Cõmentarii diuerſorũ autorũ in Alexipharmaca.

COLONIAE OPERA IOAN.
SOTERIS, ANNO MDXXX.

VTRIVSQVE

LITERATVRAE PERITIA, MORV'MQVE *honestate insigni* **GERARDO** *Bucoldiano, publico apud Agrippinam Coloniam bonarum literarum professori, Ioannes Soter S. D.*

FVIT is nobis à cœpta mox chalcographica semper animus Gerarde doctißime, ut quantum fortuna ferret nostra, quæ tamen admodũ est tenuis, nõ nisi optimos seligeremus autores, quibus nostra exerceretur officina. Dedimus itaq; libellos aliquot studiosæ iuuentuti, si non optimos, certè neutiquàm pœnitendos. At ubi tandem & Dioscoridi, non absq; hortatu tuo, manus admouere cœpißem, operæpretiũ uidebar facturus, si propter argumẽti uicinitatem & Nicandrũ illi iungerẽ, quod & ante me incõparabilis ille bonarũ literarũ uindex Aldus fecerat. Circumspiciẽti itaq; mihi in tanta doctißimorũ hominũ, eorũq; de me certatim quotidie benemerentiũ turba, cuinam is dicaretur, uisus es tu mihi potißimũ πολλῶν ἀντάξιος ἄλλων: cum ob singularem Græcarũ literarum peritiam, tum Medicæ rei, cui feliciter admodum initiatus es studium, ad quod post plus quàm decennalem errorem, quo per utriusq; linguæ scriptorum omne genus uarie iactatus, tandem haud aliter atque tuus ille Vlyßes Ithacam, appulisti. Cur autem Vlyßem tuum non dixerim, quem tu primus omnium in Coloniẽsi Academia priuato auditorio tanta nominis celebritate prælegisti, ut uel illius ergò communibus fis suffragijs ab amplißimo Senatu ad publicum docendi munus, cui nunc feliciter præes, accersitus. Atq; utinam nemini liceat ad superiores illas, quas uocant, facultates, nisi antea tali exercito errore, conscẽdere: quod si fiat, quis non uidet longe feliciore loco atq; nunc est, rem literariam atq; illius fore sectatores. Adde quod cum tu nobis primũ & Dioscoridis & Nicandri exempla suppeditaris, ingratus sanè forem, imo iniquus, nisi hanc tuam liberalitatẽ rursus aliquo beneficio pensem. Suscipe igitur Gerarde optime hoc munusculi grato animo, operamq; quæ in eo à me præstita est, boni consule: quod ubi feceris, stimulos mihi ad maiora aggrediunda addes. Vale ex officina nostra chalcographa, Decimoquinto Calend. Septemb. Anno MDXXX.

ΝΙΚΑΝΔΡΟΝ τὸν ποιητὴν, Διονύσιος ὁ φασιλήτης, ἐν τῷ περὶ τῶν Ἀντιμάχου ποιήσεως, αἰτωλὸν εἶναί φησι τὸ γένος. ἐν δὲ τῷ περὶ ποιητῶν, ἱερέα φησὶν αὐτὸν τοῦ κλαρίου ἀπόλλωνος, ἐκ προγόνων τὴν ἱερωσύνην δεξάμενον. καὶ αὐτὸς δὲ ὑπὲρ ἑαυτοῦ ἐν τῷ τέλει τῶν βίβλου, φησί,

— τὸν ἔθρεψε κλάρου νιφόεσσα πολίχνη.

Κλάρος δὲ τόπος ἐστὶν, ἀπόλλωνος ἱερός. υἱὸν δέ φησιν αὐτὸν Δαμναίου, οὕτω λέγων,

Αἰνέσεις υἱῆα πολυμνήστοιο δαμναίου.

Χρόνῳ δὲ ἐγένετο κατὰ τὸν Ἄτταλον, τελευταῖον ἄρξαντα περγάμου, ὃς κατελύθη ὑπὸ ῥωμαίων. ᾧ προσφωνεῖ λέγων οὕτως,

Τευθρανίδης, ὃς κλῆρον ἀεὶ πατρώϊον ἴσχεις,
κέκλυθι. μηδ' ἄμνηστον ἀπ' οὔατος ὕμνον ἐρύξῃς
Ἄτταλ'. ἐπεὶ σέο ῥίζαν ἐπέκλυον ἡρακλῆος.
Εἰσέτι λυσιακῆς τε περίφρονος, ἣν πελοπηῒς
Ἱπποδάμεια φύτευσεν ὅτ' ἀπίδος ἤρατο τιμήν.

Διέτριψε δὲ ἐν αἰτωλίᾳ τοὺς πλείονας χρόνους, ὡς φαίνεται ἐκ τῶν περὶ αἰτωλίας συγγραμμάτων καὶ τῆς ἄλλης ποιήσεως, ποταμῶν τε τῶν περὶ αἰτωλίαν καὶ τόπων ἐκεῖσέ τε καὶ ἄλλων διαφόρων διηγήσεως, ἔτι δὲ καὶ φυτῶν ἰδιότητος.

ΒΙΟΣ ΝΙΚΑΝΔΡΟΥ, ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

Νίκανδρος, ξενοφάνους. κολοφώνιος. κατὰ δέ τινας αἰτωλός. ἅμα γραμματικός τε καὶ ποιητὴς καὶ ἰατρός. γεγονὼς κατὰ τὸν νέον ἄτταλον, ἤγουν τὸν τελευταῖον τὸν γαλατονίκην, ὃν ῥωμαῖοι κατέλυσαν. ἔγραψε θηριακά. ἀλεξιφάρμακα. γεωργικά. ἑτεροιουμένων βιβλία πέντε. ἰάσεων συναγωγήν. προγνωστικὰ δι' ἐπῶν. μεταπέφρασαι δὲ ἐκ τῶν ἱπποκράτους προγνωστικῶν. περὶ χρηστηρίων πάντων βιβλία τρία. καὶ ἄλλα πλεῖστα ἐπικῶς.

ΕΙΣ ΝΙΚΑΝΔΡΟΝ.

Καὶ κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσι τέτυκται,
Δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους.
Πρωτότοκον μὲν ὅμηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
ἀμφοτέρους μούσαις οὐρανίῃσι φίλους.

ΑΔΗΛΟΝ.

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Νίκανδρος κατέλεξεν, ἐπιστάμενος περὶ πάντων
Ἀνθρώπων. ἦ γὰρ παιηονός ἐστι γενέθλης.

AD LECTOREM.

Libet hoc loco indicare tibi unum aut alterum Nicandri locũ, aliter alibi, quàm uulgata habeant exemplaria, deprehensum.
B. 2. facie 2. Ἢν οὐδὲ κρατηρίοιο, sunt qui legant, Ἢν οὐδὲ μακλερίοιο.
B. 3. fa. 1. Τὴν ἀπὸ θρυϊκίου νομίδος, alij legunt, Τὴν ἀπὸ θρυϊκίς νοκίδος.
G. 1. fa. 2. Ταῦρον ἐπεὶ, legendum, Παῦρον.

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΕ, καὶ χρήσιμα εἰς τὰ τοῦ ΝΙΚΑΝΔΡΟΥ θηριακά.

Ο Νοῦς. Ῥαδίως σοι τὰ εἴδη καὶ τὰς βλάβας τῶν φωνητικῶν καὶ ὀλεθρίων θηρῶν, ἀπροόπτως καὶ ἀθρόως βλαπτούσας, τήν τε ἴασιν καὶ θεραπείαν τὴν ἀντιπαθῆ τοῦ πόνου, ὦ τῶν πολλῶν συγγενῶν ἐνδοξότατε καὶ προσφιλέστατε Ἑρμησιάναξ ἀσφαλῶς σοι καὶ ἀκριβῶς διηγήσομαι. σίνη δὲ τὰ βλαπτικὰ σύμπτωματα τῶν θηρίων λέγει, κατὰ περίφρασιν τῶν θηρίων τὰ εἴδη καὶ τὰς βλάβας. ὀλοφώια δὲ, τουτέστι φῶτας ἀναιροῦντα ἤγουν ἄνδρας ὀλλύοντα. οὐχ ὁμηρικῶς δὲ εἶπεν. ἐκεῖνος γὰρ ὀλοφώια ἔφη τὰ ὀλέθρια. γίγνεται ὀλοφώια εἰδώς. ἑτεραλκέα δὲ τὴν ἀντιπαθῆ ἀλκὴν λέγει, ὅ ἐστι μηχανὴν ἐναντίαν τῷ τύψαντι, ἤγουν τὴν θεραπείαν ἐμποιοῦσαν τοῖς δήγμασι τῶν δακέτων. ὥσπερ ὅμηρος, ἑτεραλκέα δῆμον ἔχοντες. τὸ δὲ κήδευς, ἰωνικὸν, ἀντὶ τοῦ κήδους. σημαίνει δὲ τὸ κῆδος βλάβην. καὶ τὴν ἐξ ἐπιγαμβρείας συγγένειαν. καὶ τὴν φροντίδα. καὶ τὸ κακὸν, ὡς ἐνταῦθα.

Φίλ' ἑρμησιάναξ. ὁ ἑρμησιάναξ φίλος τοῦ Φιλητᾶ καὶ γνώριμος ὤν. τούτου δὲ τὰ προσηκοντα γέγραπται, καὶ τὰ λεγόμενα εἰς τὴν ἐρωμένην. οὐ δύναται δὲ Νίκανδρος μνημονεύειν τούτου διὰ τῆς προσφωνήσεως διὰ τὸ τὸν Φιλητᾶν πρεσβύτερον εἶναι Νικάνδρου. καὶ αὐτὸς δὲ ὁ Νίκανδρος μέμνηται τοῦ ἑρμησιάνακτος ὡς πρεσβυτέρου ἐν τῷ περὶ τῶν ἐκ κολοφῶνος ποιητῶν. ἔστιν οὖν οὗτος ἑταῖρος Νικάνδρου, ὁμώνυμος τῷ προτέρῳ. δῆλον δὲ ὅτι συγγενὴς αὐτοῦ ἦν. ὁ γὰρ παῒς σημαίνει τὴν βίαν. τόν τε φίλον, καὶ τὸν συγγενῆ, ἔτι δὲ καὶ τὸν ἀπὸ ἐπιγαμβρίας οἰκεῖον. ἔστι δὲ καὶ ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου. διό περ πολλοῖς αὐτοῦ κέχρηται. διὸ καὶ ἐν ἐνίοις δωρίζει. ὡς καὶ νῦν ἐν τῷ παῶν. πηῶν γάρ ἐστι, ὅ ἐστι συγγενῶν.

Βουκαῖος. θεριστής. βουκόλος. ζεύγεσι βοῶν ἑπόμενος. ἢ γεωπόνος ἁπλῶς. ἀλέγοι δὲ, ἐν φροντίδι ποιοῖ καὶ τιμῴη. ὀροιτύποι δὲ, ὑλοτόμοι. ὕλη ὁ σύνδενδρος τόπος. λοιγὸν δὲ ὀδόντα, τὸν θανάσιμον. ἐπὶ λοιγὸν οὖν, ἵν' ᾖ, ἐπιβάλῃ τὸν λοιγὸν ὀδόντα. περιφραδέντα δὲ, ἤγουν

ΝΙΚΑΝΔΡΟΥ ΘΗΡΙΑΚΑ.

ῬΕΙΑ ΚΕ ΤΟΙ ΜΟΡφάς τε σίνη τ' ὀλοφώϊα θηρῶν
ἀπροϊδῆ τύψαντα, λύσιν θ' ἑτεραλκέα κήδευς,
φίλ' ἑρμησιάναξ πολέων κυδίστατε πηῶν,
ἔμπεδα φωνήσαιμι. σὲ δ' ἂν πολυεργὸς ἀροτρεὺς
βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ' ὕλην
ἢ καὶ ἀροτρεύοντι βάλῃ ἔπι λοιγὸν ὀδόντα,
τοῖα περιφραδέντος ἀλεξητήρια νούσων.

ἔγνων ἐγνωκότα. μεμαθηκότα. ἀπὸ ἀττικῆς δὲ μετέβη εἰς γενικήν. οἱ δ' ἂν πολυΐδριες πολυφραδέα κατὰ διάταξιν τῆς φράσεως.

Φαλάγγια σὺν ἄλλοις μικρῶν ὄφεων. φασὶ δὲ ὅτι Ἀράχνη ἤρισε τῇ Ἀθηνᾷ περὶ ἔργων γυνὴ οὖσα τὸ πρῶτον. καὶ διὰ τοῦτο μετεβλήθη εἰς τὸ νῦν ζῷον.

Ἀκουσίλαος δέ φησιν ἐκ τοῦ αἵματος τοῦ Τυφῶνος πάντα τὰ δάκνοντα γενέσθαι. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῇ τῆς Ἀλεξανδρείας κτίσει, ἀπὸ τῶν σταγόνων τοῦ τῆς Γοργόνος αἵματος. Ὁ δὲ Ζηνόδοτος Θεόφιλος ἱστορεῖ, ὡς ἄρα ἐν τῇ Ἀττικῇ δύο ἐγένοντο ἀδελφοί. φάλαγξ μὲν

ἀνίγρους δὲ ἤτοι ἀνιαρούς. λυπηρούς. ἀτίους καὶ κακούς. ἑρπηστὰς δὲ εἶπε, πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων ἑρπετῶν. εἰ γάρ τις εἴποι, ὅτι πάντα ἑρπετά ἐστι, καὶ ἕρπουσιν, ἀλλ' ἐροῦμεν ὅτι τὰ μὲν ἄλλα ἑρπετὰ ᾠοτοκοῦσιν. οἱ δὲ ἔχιδνες ζῳοτοκοῦσι. διὸ καὶ τὸ κυοῦν εὐθέως ἕρποντα τὰ γεννήματα τίκτουσιν. ὅπερ οὐχ ὁρᾶται ἐν τοῖς ἄλλοις ἑρπετοῖς. ἐκεῖνα γὰρ ᾠὰ τίκτει, καὶ οὐ ζῷα ὡς οἱ ἔχεις.

Ἀλλ' ἤτοι κακοεργὰ φαλάγγια σὺν καὶ ἀνιγροὺς
Ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης,
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο μελισσήεντος ἐπ' ὄχθαις,
Ἡσίοδος κατέλεξε, παρ' ὕδασι Περμησσοῖο.
Τὸν δὲ χαλαζήεντα κόρη Τιτηνὶς ἀνῆκε
Σκορπίον ἐκ κέντροιο τεθηγμένον, ἦμος ἐπέχρα
Βοιωτῷ τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
Ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων.
Αὐτὰρ ὅ γε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς
Σκορπίος ἀπροϊδής, ὀλίγῳ ὑπὸ λᾶϊ λοχήσας.

ἄχθεα δὲ ἤτοι βλάβας. εἰ δὲ διὰ τοῦ ε, ἔχθεα, τὰ στυγήματα καὶ τὰ ἐχθρά. ἐκ τοῦ αἵματος οὖν φησι τοῦ Τυφῶνος ταῦτα γενέσθαι. μετὰ γὰρ τὸ κεραυνωθῆναι αὐτόν, ταῦτα τὰ θηρία ἀπεδόθησαν. Ἀσκραῖος. ὁ Βοιωτός. καὶ γὰρ Ἄσκρη κώμη Βοιωτίας ἐστίν. ὅθεν καὶ Ἡσίοδος ἐτύγχανεν. ὥς φησιν καὶ αὐτὸς τῷ αὐτοῦ ἀδελφῷ Πέρσῃ διὰ τὸν αὐτοῦ πατέρα.

Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.

ἰστέον δὲ ὅτι ψεύδεται ὁ Νίκανδρος ἐνταῦθα. οὐδαμοῦ γὰρ τοῦτο εἶπεν Ἡσίοδος ἐν τοῖς φερομένοις. μελισσήεντα δέ φησι τὸν τόπον τοῦ Ἑλικῶνος, ἐν ᾧ εὗρε τὰς μούσας. ὃς οὕτως ἐκλήθη ἀπὸ Μελισσέως βασιλεύσαντος τοῦ τόπου. περὶ γοῦν τῆς τῶν δακνόντων θηρίων γενέσεως, ὅτι ἐστὶν ἐκ τῶν Τιτάνων τοῦ αἵματος, παρὰ μὲν τῷ Ἡσιόδῳ οὐκ ἔστιν εὑρεῖν.

ἄρσεν, θῆλυ δὲ ἀράχνη τοὔνομα. καὶ ὁ μὲν φάλαγξ ἔμαθε παρὰ τῆς Ἀθηνᾶς τὰ περὶ τὴν ὁπλομαχίαν. ἡ δὲ ἀράχνη, τὰ περὶ τὴν ἱστουργίαν. μιγέντας δὲ ἀλλήλοις, καὶ συγγενέντας ὑπὸ τῆς θεοῦ, μεταβληθῆναι εἰς ἑρπετά. ἃ δὴ καὶ συμβαίνει ὑπὸ τῶν ἰδίων τέκνων κατεσθίεσθαι. τὸν δὲ χαλαζήεντα, ἄλλος ἀντὶ γένους παρέλαβεν. εἰσὶ γὰρ σκορπίοι χαλαζήεντες, διὰ τὸ τοὺς δεδηγμένους ὑπ' αὐτῶν ἱδροῦν, ὡς ὑπὸ χαλάζης καὶ ὑετοῦ βεβρεγμένους. Τιτηνὶς δὲ ἡ Ἄρτεμις, ἡ Λητοῦς θυγάτηρ καὶ Κοίου τοῦ Τιτᾶνος. Βοιωτῷ τεύχουσα. Ὑριεὺς γὰρ ὁ πατὴρ Ὠρίωνος, Βοιωτός ἐστιν. Ὠαρίων δέ, ἐπειδὴ ἀπὸ τῶν οὔρων τοῦ Διὸς καὶ Ἀπόλλωνος καὶ Ποσειδῶνος ἐγένετο. ὁ δὲ Ὠρίων οὗτος ὥς τινές φασι, τῇ Ἀρτέμιδι καὶ τῇ Λητοῖ ἐπηγγείλατο, ὡς οὐδὲν τῶν θηρίων φεύξεται αὐτόν. ὑπὸ δὲ τοῦ σκορπίου πληγείς, ἀπέθανεν. ὁ δὲ Ζεὺς κατηστέρισεν αὐτόν τε καὶ τὸν

σκορπίον ἐν τοῖς ἄστροις, εἰς σημεῖον τῆς αὐτοῦ πράξεως. οἱ δὲ πλεῖστοι Ταναγραῖον εἶναί φασι τὸν ὠρίωνα. Κόριννα δὲ εὐσεβέστατον αὐτὸν λέγει. καὶ ἀπελθόντα πολλοὺς τόπους ἡμερῶσαι καὶ καθαρίσαι ἀπὸ θηρίων. Ἡσίοδος δέ φησιν αὐτὸν Εὐρυάλης τῆς Μίνωος θυγατρὸς εἶναι

Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ. Τὸ δὲ λοχήσας, καὶ δοκήσας καὶ τυχήσας. καὶ εἰ μὲν δοκήσας, ἀντὶ τοῦ τηρήσας. εἰ δὲ λοχήσας ἐνεδρεύσας. εἰ δὲ τυχήσας, ἀντὶ τοῦ ἐπιτυχεῖν προύσας. κυνηλατέοντα δὲ ἀντὶ τοῦ κυνηγετοῦντα. ὡς Εὐφορίων, Αὐτῷ σὺν Τελαμῶνι νεοδμήτῳ.

Τοῦδε τέρας περίσημον ὑπ' ἄστρασιν ἀπλανὲς αὔτως
Οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται.
Ἀλλὰ σύ γε σταθμοῖσι καὶ αὐλίου ἑρπετὰ φύγδην
Ῥηιδίως ἐκ πάντα διώξεαι, ἢ ἀπ' ἐρίπνης,
Ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος. ἦμος ἀν' ἀγρούς
Φεύγων αἰαλέος θέρεος πυρόεσσαν ἀϋτμήν,
Αἴθριος ἐν καλάμῃ στορέσας ἀκρέσπερος εὕδῃς,
Ἢ καὶ ἀν' ὑλήεντα περὶ λόφον, ἢ ἀνὰ βήσσης
Ἐσχατιήν, ὅθι πλεῖστα κνώπετα βόσκεται ὕλην,
Δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας.
Καί τε περὶξ λιστρωτὸν ἁλωδρόμον, ἠδ' ἵνα ποίη

Ἐρίπνην, τὴν ἀκρώρειαν λέγει παρὰ τὸ ἐρειπνοῦσθαι διὰ πολλὰ πνίγεσθαι ἢ τὴν κοιλότητα παρὰ τὸ ἐρείπεσθαι, ἤγουν πεσεῖν καὶ κοιλωθῆναι. ἢ ἐρίπνη τὸ ῥῆγμα τοῦ ὄρους. παρὰ τὸ δοκεῖν ἐρείπεσθαι. τοῦτο δὲ μάλιστα νῦν δοκεῖ σημαίνεσθαι. Αὐτοπόνοιο, τῆς οἰκείας καὶ αὐτοσχεδίου καὶ εὐτελοῦς χαμαιστρωσίας. παρὰ δὲ Ἀττικοῖς χαμευνάδες λέγονται μικρὰ κλινίδια. τὸ δὲ πυρόεσσαν, γράφεται καὶ πνιγόεσσαν τουτέστι καυ-

καὶ Ποσειδῶνος. δοθῆναι δὲ αὐτῷ δωρεὰν, ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι καὶ ἐπὶ τῆς γῆς. ἐλθόντα δὲ εἰς Χίον πρὸς Οἰνοπίωνα, Ἀερόπην τὴν γυναῖκα βιάσασθαι, οἰνωθέντα. Οἰνοπίωνα δὲ χαλεπήναντα, ἐκτυφλῶσαι αὐτὸν. καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν. ἐλθόντα δὲ εἰς Λῆμνον Ἡφαίστῳ συμμῖξαι. ὃς ἐλεήσας αὐτὸν, δίδωσιν αὐτῷ Κηδαλίωνα ἵνα τῶν θεραπόντων. ὃς δὴ ὡδήγησεν αὐτὸν ἐπὶ τὰς ὁδούς. ἐλθὼν δὲ ἐπὶ τὰς ἀνατολὰς καὶ συμμίξας ἡλίῳ καὶ ὑγιασθεὶς, ἀνῆλθεν ἐπὶ τὸν Οἰνοπίωνα. ὁ δὲ Οἰνοπίων ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκρύπτετο. ἀπελπίσας δὲ τὴν εὕρεσιν, ᾤχετο εἰς Κρήτην καὶ ἐκυνηγέτει. καὶ ἐκεῖσε ὁ σκορπίος πεμφθεὶς ὑπὸ Λητοῦς καὶ Ἀρτέμιδος, χολουμένης αὐτῷ ἴσως διὰ τὴν μεγαλαυχίαν, ἔπληξε τὸν ὠρίωνα. καὶ οὕτως ἀπέθανε. Τὸ δὲ ὑπὸ λᾶι ἀντὶ τοῦ ὑπὸ λίθῳ παρέδειν ὑπὸ τοῖς λίθοις κάτω οἱ σκορπίοι κρύπτονται. ὡς Σοφοκλῆς ἐν αἰχμαλώτισιν.

στικήν. ἐπεὶ καὶ οἱ ἐν ἀκμῇ ὄντες τοῦ καύματος, δοκοῦσι φλέγεσθαι. τὸ δὲ ἀκρέσπερος, ἤγουν κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς, οἷον περὶ ἄκραν ἑσπέραν. κνώπετα δὲ, τὰ θηρία τὰ ἐν τῷ πέδῳ κινούμενα, διὰ κνωπώδη τινὰ ὄντα. δρυμοὺς δὲ τοὺς συμφύτους τόπους. πᾶν γὰρ δένδρον ἐκάλουν οἱ ἀρχαῖοι δρῦν. καὶ λασιῶνας, τοὺς δασεῖς τόπους καὶ ὑλώδεις. ἀμορβαίους δὲ χαράδρας, τὰς βουκολικὰς ἐν αἷς οἱ ποιμένες, καὶ ὅπου βουκόλοι πατοῦσιν. ἢ ἀμορβαίους χαράδρας, τὰς σκοτεινώδεις. ἀμορβὸν γὰρ τὸ σκοτεινὸν, παρὰ τὴν ὀρφνὴν, ἐλλείψει τοῦ ν καὶ τροπῇ τοῦ φ εἰς β. ἢ ἄμορφόν τι ὂν, καὶ ἀμορβόν.

Λιστρωτὸν, τὸ ὁμαλὸν καὶ ἐξυσμένον. λίστροι γὰρ οἱ ξυστῆρες. καὶ Ὅμηρος λίστροισι δαπέδοις. ἡ δὲ σύνταξις οὕτως καὶ περὶ τὸν λιστρωτὸν δρόμον τῆς ἀλωνίας. καὶ ὅπου βοτάνη κύεται καὶ θάλλουσα. [illegible] καὶ αὔξαν [illegible]. ἰαμενὰς δὲ τὰς ἰαμενίας οἷον τοὺς συμφύτους τό-

πρὸς. μῶλυς δὲ, βραδὺς καὶ νωθὴς ὁ νωχελής. ἄνω χωλὸς καὶ ἐκ ταχὺς, ὁ γηγενὴς ὄφις καὶ νωθῶς βαίνων ἢ καὶ ὁ ταχεῖς καὶ μολῶν. ἄλλως δὲ τὸ πρῶτον ἐστὶ νῦν, ὡς οἱ ὄφεις ἐν τῷ χειμῶνι τυφλοὶ γίνονται διὰ τὸ πάχος αὐτῶν· ἐν δὲ τῷ ἔαρι γευσάμενοι μαράθου, πάλιν ὀξυδορκοῦσι καὶ ἀναβλέπουσι καὶ τὸ λοιπὸν φεύγοντες τὰς φωλεοὺς αὐτῶν, εἰς ὑλώδεις ἔρχονται τόπους ὅθεν καὶ Νίκανδρος νῦν λέγει. Μαράθου ὁ χυλὸς τοῦ μαράθου ὀξυδορκίαν παρέχει. ὅθεν καὶ οἱ δράκοντες οὐ μόνον ἐσθίουσιν αὐτὸ, ἀλλὰ καὶ περιχρίουσι τοὺς ὀφθαλμοὺς αὐτῶν. θιμβρὴν δὲ τὴν δριμεῖαν καὶ ὀξεῖαν. διὰ τὰς ἐξ αὐτοῦ γινομένας φθινομένας. καλλίμαχος. θιμβρὺς κύπριδος ἁρμονίην. Εὐφορίων. θιμβρὴ τε σμυ... ἐγγαγίδα δὲ πέτρην, τὴν γαγάτην λίθον ἐν γάγγαις τῆς λυκίας εὑρίσκεται. τὰς δὲ γάγγας πόλιν οὖσαν τῆς λυκίας καὶ γαγίδα φησίν. ἐκεῖσε οὖν ἡ λίθος αὕτη εὑρίσκεται πρὸς τοῖς αἰγιαλοῖς μεγάλη τε καὶ χλωρά. ταύτης δὲ τῆς λίθου τὸ πῦρ οὐχ ἅπτεται. ἀλλὰ μόνον καιομένη, ἀσφαλτώδη ἔχει ἀποφορὰν καὶ ὀσμὴν, ὑφ' ἧς οἱ δράκοντες ἀπολείπονται. Εν δὲ πολυσχιδέος. διὸ ὅτι εἰς πολλὰ ἔσχισται τὰ φύλλα αὐτοῦ. βλῆτρος δὲ, ἡ λεγομένη πτέρις, ἤγουν τὸ βλάχνον. ἐστὶ δὲ δριμεῖα καὶ δηκτική. διὸ καὶ τὰς πλατείας ἕλμινθας ἐκβάλλει καὶ ἀφανίζει μετὰ πολλοῦ καὶ θάρσους, χολώδους βίᾳ. καχρυόεσσαν δὲ τὴν λιβανωτίδα λέγει· ὅτι ἡ ῥίζα αὐτῆς κριθαῖς ῥίζῃ παρέοικε. περιθαλπέα δὲ τὴν θερμὴν, ἢ πυρὶ θάλπουσαν. ἡ δὲ κάχρυς, πυρώδης καὶ ταχεῖα, καὶ τὰς ἀρτηρίας ἀναταράσσει, καὶ τοῖς γεύσασιν ἐκκαίει· οὐχ ἧττον πεπέρεως. τὸ δὲ κάρδαμον, δριμὺ καὶ πληκτικόν. καὶ πυρῶδες. διὸ καὶ λειχῆνας ἀποσμήχει. λέπρας ἐκθλίβει. ἀνθράκας ῥήσσει ἔμμηνα κατάγει. πρὸς συνουσίαν ἐπάγει. τὸ νεῦρον τῇ θερμότητι κινοῦσα. διὰ ταῦτα οὖν πάντα χαλεπὴν τοῖς θη-

Πρῶτα κυισκομένη σκιάς χλοάοντας ἰάμνους.
Ἦμος, ὅτ' ἀζαλέων φολίδων ἀπεδύσατο γῆρας
Μῶλυς ἐπιστείχων, ὅτε φωλεὸν εἴαρι φεύγων,
Ὄμμασιν ἀμβλώσσει. μαράθου δὲ ἑ νήχυτος ὄρπηξ
Βοσκηθεὶς, ὠκύν τε καὶ αὐγήεντα τίθησι.
Θιμβρὴν δ' ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα,
Καπνείων ἐλάφοιο πολυγλώχινα κεραίην,
Ἄλλοτε δ' ἀζαλέην καίων ἐγγαγίδα πέτρην,
Ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή.
Ἐν δὲ πολυσχιδέος βλήτρου πυρὶ βάλλεο χαίτην,
Ἢ σύ γε καγχρυόεσσαν ἑλὼν περιθαλπέα ῥίζην,
Καὶ δ' ἄμφω ἀμμίξας ἰσοελκέϊ. μίσγε δ' ἐν ὁλκῇ μοῖραν.

ρίοις ἐκπνεῖ ἀναθυμίασιν. Καὶ ἀνικέϊ. ἴσην ὁλκὴν ἔχοντι. ἤγουν ἰσοστάθμῳ. ἔνοδμον δὲ, τουτέστι νεαρὸν, ἔτι τὴν ὀσμὴν τοῦ κρέατος ἔχον, νεωστὶ ἐσφαγμένον τοῦ ζῴου. ἢ ἔνοδμον, νέον, δίον ἄρτι κοπὲν, ἀντὶ τοῦ ὠμόν. ἀσκελὲς δὲ, τὸ αὐτὸ σκέλος. ἢ τὸν αὐτὸν παχυσμὸν, ὅ ἐστι τὸ ἴσον. ἡ μὲν τοι μελάνθιος βαρεῖά ἐστι. ἔστι δὲ πρα, δυναμένη ψυγμὸν ἀπελάσαι, εἴ τις μετὰ ψας μετὰ προσαλείφει τῇ ῥινί. τὸ δὲ θεῖον καὶ ἄσφαλτος, ἄμφω βαρύοδμα. καὶ πνευματικά. διὸ καὶ ἔμμηνα ῥηγνύει. καὶ καταῤῥοὺς ἵστησι, καὶ λεπροὺς καὶ φαλακροὺς ἐκλεαίνει. τὸ δὲ θεῖον, ὀρθόπνοιαν διαλύει. καὶ λη θαργικοὺς ἐπεγείρει θυμιώμενον, ἀνίησιν ἡ δὲ ἄσφαλτος, ἐπιληπτικοὺς ἐκταράσσει. πινομένη δὲ ἐν οἴνῳ, πυρετοὺς τεταρταίους διαλύει, σφοδρότητι καὶ ταχυτῆτι τοῦ πνεύματος.

τος. οὐ θαυμαστὸν δὲ, εἰ καὶ τοῖς θηρίοις ταῦτα ἐνοχλεῖ. Θρήϊσσαν ἢ δὲ θρήϊσσα, λίθος ἐστὶν, ἥ τις βραχεῖσα ὑπὸ ὕδατι, καίεται. ὅτε δὲ εἰς αὐτὴν ἔλαιον βάλῃς, σβέννυται. Ἀριστοτέλης δέ φησι τὸν ποταμὸν τοῦτον ἐν μυδικῇ καὶ ἰνδικῇ εἶναι. ὧν καὶ ὁ λίθος οὗτος γεννᾶται, ὃς ἔχει μὲν ὀσμὴν, ἀ-

ὁ δὲ Θεόφραστος βέλτιον, οὗτος. ἄκνησις δὲ, οἱονεὶ πολύκνησις ὥσπερ καὶ τὸ ἄξυλος ὕλη, ἡ πολύξυλος. τὸ δὲ ἄκνησις, οἱ μὲν τὴν κνίδαν. οἱ δὲ τὴν σκύλλαν, ἢ ἀκαλήφην ὁ μὲν Τυραννίων, τὴν σκύλλαν. Ἀπολλώνιος δὲ ὁ Μεμφίτης τὸ κόνυζον, ὃ δὴ πολλοὶ κόνυζαν καλοῦσι.

Ζορκὸς ἐνὶ πλάτεσι γινεόμ κέρας ἀσκελὲς ἴσας,
Καί τε μελανθίου, βαρυαέος, ἄλλοτε θείου,
Ἄλλοτε δ' ἀσφάλτοιο φέρων ἰσοελκέα μοῖραν.
Ἠὲ σύ γε θρήϊσαν ἐνὶ φλέξας πυρὶ λᾶαν.
Ἥ θ' ὕδατι βρεχθεῖσα, σελάσεται. ἔσβεσε δ' αὐτὴν
Τυτθὸν ὅτ' ὀσμήσηται ἐπιρρανθέντος ἐλαίου.
Τὴν, ἀπὸ Θρηϊκίου νομέες ποταμοῖο φέρονται.
Ὃν Πόντον καλέουσι. τόθι Θρήϊκες ἀμορβοὶ
Κριοφάγοι, μήλοισιν ἀργηλοῖσιν ἕπονται.
Ναὶ μὴν καὶ βαρύοδμος ἐπὶ φλογὶ μοιρηθεῖσα
Χαλβάνη, ἄκνηστίς τε καὶ ἡ πριόνεσσι τομαίη,
Κέδρος πουλυόδουσι καταψηχθεῖσα γενείοις
Ἐν φλογιῇ, καπνηλὸν ἄγει καὶ φύξιμον ὀδμήν.
Τοῖς δ' ἦ χηραμὰ κοῖλα καὶ ὑλκωρέας εὐνὰς
Κνώσσῃς. δαπέδῳ δὲ πεσὼν, ὕπνοιο κορέσσῃ.

τὸ δὲ ἐξῆς, ἐν ὑπερβατῷ καὶ ὑπὸ τοῖς πολυοδοῦσι γενείοις τῶν πριόνων τεμνομένη κέδρος ἀντὶ τοῦ τὸ πρίσμα τοῦ κέδρου ἀποτελεστικὴν ὀδμὴν τῶν διωκόντων δρακόντων ἐμποιεῖ. οἱ δὲ πλεῖστοι τῶν ἐξηγησαμένων, τὸ ἁπλῶς ξύλον τοῦ κέδρου. καὶ γὰρ τὰ ἑρπετὰ ψυχρὰ ὄντα, τὴν κέδρον διὰ τὸ ξηραντικὸν φεύγει. διὸ καὶ τοὺς νεκροὺς ἀσήπτους τηρεῖ, τὸ νοτερὸν καὶ ῥευστικὸν ἐξωθοῦσα. ὅθεν καὶ νεκρῶν ζωὴν ἔνιοι αὐτὴν ἐκάλεσαν. οἱ δὲ ἔριδον) τῶν χαλκώντων.

τὸ δὲ καταψηχθεῖσα, ἀντὶ τοῦ διαιρεθεῖσά ἐστι. ψῶ γὰρ καὶ ψήχω, τὸ κόπτω καὶ διαιρῶ. ἡ καταψηχθεῖσα οἱονεὶ καταπρισθεῖσα. χηραμὰ δὲ τὰ κοιλώματα, παρὰ τὸ χεῖσθαι καὶ χωρεῖν ἐν αὐτοῖς.

σφαλτώδης καὶ δριμεῖα. ἡ δὲ φύσις αὐτοῦ σύμπηξιν γίνεται ἀσφάλτου ξηρᾶς πρὸς τὸ λιθῶδες ἔχει. καὶ διὰ τοῦτο ἐν ὕδατι ἀναφλέγεται μᾶλλον. ἡ γὰρ ἰκμὰς ἔχει τῇ ἀσφάλτῳ προσέθησι. καὶ τὸ ξηρὸν αὐτῆς ἰκμάδος ποιεῖ. μήλοισι δὲ ἀργηλοῖς ἢ τοῖς λευκοῖς κατὰ ἔρια, ἢ τοῖς ἀργοῖς. ἐπειδὴ τῶν ἄλλων ζώων ἀργότερά ἐστι τὰ θρέμματα καὶ νωθρότερα. μᾶλλον δὲ τὰ πρόβατα. οὐ γὰρ νωθρότερα ἐστὶ κατὰ τοὺς ὄνους ἢ ἡμιόνους ἢ βόας ἢ τοῖς μὴ ἐργαζομένοις πρὸς σύγκρισιν βοῶν καὶ ἵππων καὶ ὄνων.

Χαλβάνη. τὴν χαλβάνην ὁ Διοσκορίδης φησὶν, ὀπὸν εἶναι νάρθηκος συριακοῦ.

Εἰ δὲ τὰ μὲν χαμαὶ ζῶντα κοίτην δεῖται, σκόπησον εὑρεῖν τὴν ἔνυδρον καλάμινθον κατὰ τὰς δίνας τοῦ πολυρράγιος ποταμοῦ. πολυρράγιος δὲ, τὸν πολλὰς ῥεύσεις ἔχοντα εἶπεν. ἢ τὸν βίαιον καὶ πάντα ῥήσσοντα διὰ τὸ ῥαγδαῖον. ὑδρηλὴν δέ φησι τὴν χλωράν. ἢ ὑδρηλὴν εἶπεν, ἐπειδή ἐστι καὶ ὀρεινὴ καλάμινθος. διαστέλλει οὖν τὸ εἶδος, τινὲς δὲ ἀγρίαν γλήχωνα αὐτὴν καλοῦσι. πάντα δὲ τὰ εἰρημένα, βαρύοδμα καὶ θερμὰ, καὶ εὐπα-

Εἰ δὲ τὰ μὲν καμάτου ἐπιδεύεται, ἄγχι δέ τοι νὺξ
Αὖλιν ἄγει, κοίτου δὲ λιλαίεαι ἔργον ἀνύσσας,
Τῆμος δὴ ποταμοῖο πολυρραγέος κατὰ δίνας
χλοερὴν καλάμινθον ὀπάζεο χαιτήεσσαν.
Πολλὴ γὰρ λιβάσι παρ' ἀέξεται, ἀμφί τε χείλη
Ἕρπεται, ἀγραύλοισιν ἀγαλλομένη ποταμοῖσιν.
Ἢ σύγ' ὑποστορέσαιο λύγον πολυανθέα κόψας,
Ἢ πόλιον βαρύοδμον, ὃ δὴ ῥίγιστον ὄδωδεν.
Ὡς δ' αὔτως ἔχιον, ὀριγανόεσσά τε χαίτη.
Ναὶ μὴν ἀβροτόνοιο τότ' ἄγριον οὔρεσι θάλλει
Ἀργεννὴν ὑπὸ βῆσσαν. ἢ ἑρπύλλοιο νομαίου,
Ὅς τε φιλόζωος νοτερὴν ἐπιβόσκεται αἶαν.
Ῥιζοβόλος λασίοισιν ἀεὶ φύλλοισι κατηρεφής.

πινύει. ἡ δὲ καλάμινθος ἐν ἑφθῷ γάλακτι πινομένη, ἐλεφαντιάσεις καὶ χοιράδας, καὶ τὰ πλατέα πομφόλυγας, ἰᾶται. μετὰ δὲ οἴνου δοθεῖσα, ἴκτερον παύει. χαιτήεσσαν δὲ, εἰ μὲν διὰ τοῦ χ, τὴν δασεῖαν καὶ κομῶσαν τοῖς φύλλοις. κόμη γὰρ τῆς βοτάνης τὰ φύλλα, ὡς αἱ τρίχες τῶν ἀνθρώπων. εἰ δὲ διὰ τοῦ κ, τὴν μεγάλην καὶ ὑψηλὴν ὡς κῆτος, οἱονεὶ κητώεσσαν οὖσαν. τοῖς δὲ ἀγραύλοισιν, ἤγουν τοῖς καλοῖς καὶ λαμπροῖς. τοῖς ἀγλαὰς αὔρας ἔχουσιν. ἀγλαύροις καὶ ἀγραύλοις κατὰ μετάθεσιν τῶν στοιχείων. ἢ τοῖς διακαλυμμένοις καὶ ... φεροῦσι. λύγος δὲ εἶδος φυτοῦ, ἔχον κλάδους πίτυς. Ἢ πόλ) τὸ πόλιον εἶδος βοτάνης βαρύοσμον. γράφεται δὲ καὶ πόλιον καὶ πολιόν ἀμφότερα δὲ τὸ πόλιον, ἵν' ᾖ ὡς ἐπίθετον. οὐκ ἔστι δὲ ἡ λιβανωτίς. ἀλλ' ἔχει πέταλον μὲν μαλακώτερον θύμου καὶ δασύτερον. μέγεθος δὲ ὅσον ῥάβδου ἀπὸ ῥίζης πολλοὺς ἀναδιδῶσιν. ἡ δὲ ῥίζα ξυλώδης. πάντα δὲ τὰ τοιαῦτα βαρύοδμα.

Ἐχίειον. τὸ δὲ ἐχίειον ὅμοιον τῷ πολίῳ τὴν χροιάν. ἁρμόζουσι δὲ πρὸς τὸν ἔχιν. τινὲς δὲ λέγουσιν αὐτὸν ἔχειν φύλλα ὅμοια ἔχεως κεφαλῇ· διὸ οὕτως ὠνομάσθη. δύο δὲ ταύτης γένη. τὸ μὲν ὤκιμον. τὸ δὲ ἐχίειον, ὃ παρὰ πλατύτερόν ἐστι. τὸ δὲ ὀριγάνου γάλα μετὰ οἴνου καταπινόμενον, ἀλώτους φυλάττει τοὺς πίνοντας.

Ἀβροτόνοιο. τοῦ ἀβροτόνου δύο γένη εἰσί. τὸ μὲν κηπεύσιμον, τὸ δὲ ὀρεινὸν ἐν ἀργεννοῖς τόποις εὑρισκόμενον, διὸ εἶπεν ἀργεννὴν ὑπὸ βῆσσαν. τούτου δὲ προύκριτο τοῦ κηπευσίμου. ὡς πρακτικώτερον. ἀβρότονον εἶπε τὸ φύλλον τῆς ἀγρίας βοτάνης φησίν. ἀβρότονον δὲ ὠνόμασται, διὰ τὸ πρὸς ὄψιν ἁβρὸν καὶ ἁπαλὸν φαίνεσθαι ἄλλος τε καὶ διὰ τὸ δυσανοῦν εἶναι. Ἢ ἑρπύλλοιο. ἕρπυλλος εἴρηται, παρὰ τὸ ἕρπειν αὐτοῦ τὰς ῥίζας ἐπὶ πολύ. διὰ τοῦτο καὶ νομαῖον, διότι ἐπὶ πολὺ νέμεται. δύο δὲ αὐτοῦ εἴδη. ὁ μὲν γάρ ἐστιν ἥμερος. ὁ δὲ ἄγριος. εἶναι δὲ καὶ ὤκιμον μεταβάλλον μεταβαλλούμενον εἰς τὸν ἕρπυλλον. ἔστι δὲ πολύχυλον πνεῦμα τῶν δένδρων τὸ δὲ πνεῖν, ἐπεὶ τὰ εὐρέα. ἢ νομαῖον εἴρηται διότι πανταχόθεν βάλλει ἑαυτοῦ τοὺς κλάδους καὶ τὸ ἐπίθετον ὁμοφωνεῖ τὸ κύριον. ἕρπυλλος γὰρ καλεῖται παρὰ τὸ ἕρπειν. ὡς κισσὸς δὲ ἀνθεῖ, παρὰ τὰ ἄλλα ἄνθη ἑλισσόμενος. καὶ περιβοσκόμενος περιλαμβάνει. Κονύζης. κόνυζα εἶδος βοτάνης. καταψυκτικὴ δὲ αὕτη πρὸς συνουσίαν. διὸ καὶ τοῖς Θεσμοφορίοις ἐστρώννυτο. χαμαιζήλου δὲ, τῆς χαμαιπετοῦς. δύο δέ εἰσι καὶ αὐτῆς γένη ἡ μὲν ἀγρία ἡ δὲ ἥμερος. ἀλλ' ἡ μὲν ἀγρία, δριμυτέρα ἐστὶ τῆς ἡμέρου κονύζης.

τὸ δὲ

τὸ δὲ ἄγνου βρύα λευκὰ πρὸς ἀντιδιαστολὴν τίθεται· ἐπεί ἐστι καὶ μέλας ἄγνος τὸ ἀναντίον δέ ἐστιν ὁ λύγος τοῦ ἄγνου. ἐν τοῖς θεσμοφορίοις ὑποστρώννυνται αἱ γυναῖκες. ἀντιπράττει γὰρ εἰς συνουσίαν διὸ καὶ ἄγνος λέγεται. ἄγονός τις ὤν. βρύα δὲ τὰ ἄνθη καὶ ὁ ὀμήρος.

ἀντὶ τοῦ φύλλα. μόσχον δὲ τὸν κλάδον φησί γάρ φυτὸν δὲ καὶ πολυαυχία καὶ πολυανθία. τὰ δὲ σκύρα ἔριξιν τῶν ἀφροδισίων παρέχει τοῖς βουσίν ὡς τῶν βουκόλων ἐπιχόντων τὰς βοῦς καὶ κοπιώντων. τὰ σκύρα ἐχθρὰ εἴρηται. τὸ δὲ, τάτ' εἴαρι, ἀντὶ τοῦ ἅτινα σίνονται καὶ βλάπτει τὸν βοώτην, ἤγουν τὸν βουκόλον. ἢ ὅτι ἐπέχει αὐτὰς κοπιᾶν. ἢ ὅτι ἐκτέμνει ὑπὲρ τοῦ μὴ κινῆσαι αὐτῶν τὰς βοῦς. οἱ δὲ, τὸ ἐρυθρόδανον φασίν, ἐπεὶ φοινίσσονται τὰ δέρματα τῶν γινομένων ζώων. τὸ δὲ σκιρόωσιν, ἀντὶ τοῦ ὀργῶσιν ἢ σκιρτῶσιν. ἢ ἐκμαίνονται. τῶν γὰρ σκίρων γευσάμεναι αἱ βόες, ἐκκλίνονται καὶ ταύτῃ τοῖς βουσὶ μανίας ἐστὶ παρασκευαστικά. βούτην δὲ, βουκόλον ταῦτα γὰρ βλάπτουσι τοὺς βουκόλους οἱ γὰρ βόες γευόμενοι αὐτά, ὁρμητικοὶ γίνονται πρὸς τὰ ἀφροδίσια. καὶ φεύγουσι τὰς ἀγέλας. ὥστε ἀναγκάζονται οἱ βουκόλοι διώκειν. ἡ δὲ πευκέδανος, βοτάνη ἐστὶ πικρά. βαρύπνους δὲ, ἵνα μὴ ἡ [illegible]. Ἀγραυλεῖ κοίτῃ, τῇ ἐν τῷ ἀγρῷ γινομένῃ ἡ δὲ λέξις ἀγροικική.

Φράζεσθαι δ' ἐπέοικε χαμαιζήλοιο κονύζης,
Ἄγνου τε βρύα λευκά, καὶ ἐμπρίοντ' ὀνόγυρον,
Αὔτως τε βρίθοντα ταμὼν ἀπὸ κλήματα σίδης.
Ἠὲ καὶ ἀσφοδέλοιο νέον πολυαυξέα μόσχον,
Στρύχνον τε σκύρα τ' ἐχθρά, τά τ' εἴαρι σίνεται βοῦς
Ἦμος ὅταν σκιρόωσι βόες καυλεῖα φαγοῦσαι. (τ)
Ναὶ μὴν πευκεδάνοιο βαρύπνοος ἥν τε καὶ ὀδμὴ
Θηρὶ ἀποστεύει τε παρανίσσοντα διώκει
Καὶ τὰ μέν, εἰκαίῃ παρὰ θάμνου καὶ ἀγραυλεῖ κοίτῃ.
Ἀλλὰ δὲ φωλειοῖσι τὰ δ' ἐμφράξαιο χελείαις.
Εἴ γε μὲν ἐς τοῖχος κεραμήϊον ἠὲ καὶ ἔλπην
Κεδρίδας ἐνθρύπτων λιπόοις εὐήρεα γυῖα,
Ἢ καὶ πευκεδάνοιο βαρυπνόου ἄλλοτ' ὀρείου
Αὖα καταψήχοιο λίπει ἐνὶ φύλλα κονύζης.
Αὔτως δ' ἀλθήεντ' ἐλελίσφακον, ἐν δέ τε ῥίζαν
Σιλφίου. ἢν κνισώσῃ κατατρίψαμ' ὀδόντες.
Πολλάκι καὶ βροτέων σιάλων ὑπέτρεσαν ὀδμήν.

—καί τε βρύα ἄνθεα λευκά.
λευκὰ δὲ πρὸς ἀντιδιαστολὴν τοῦ μελανός. τὸ δὲ σπέρμα τοῦ ἄγνου καὶ πινόμενον ἀπαλλάττει τῶν πυρετῶν. καὶ ποιεῖ ἱδρῶτας. ὑδρωπικοῖς τε καὶ σπληνικοῖς βοηθεῖ, εἰς κύστιν ἐκκαθαιρομένων τῶν ὑγρῶν. ὁμοίως δὲ καὶ τὸ πολιον βοηθεῖ ἰατρικοῖς. πολύμιον δὲ ταῖς κυούσαις γυναιξίν, ἐκβάλλει γὰρ τὰ ἔμβρυα. καὶ ὀνόγυρος δὲ εἶδος βοτάνης. ἐμπρίοντα δὲ ἀντὶ τοῦ ἔστιν ὡς ἀκανθώδη καὶ τραχύν. πρισώδη γὰρ ἔχει τὰ

χιλείαις δὲ ταῖς καταδύσεσι παρὰ τὸ χεῖσθαι ἐν αὐταῖς τοὺς ὄφεις. Κεδρίδας, τὸν καρπὸν τῆς κέδρου. ἔχουσι γὰρ ἀνταιυγρότητα ἐλαιώδη. τὸ δὲ λίπει ἐνὶ, ἀντὶ τοῦ ἐλαίῳ τῷ ἐξ αὐτῶν, ὅπερ ἐστὶ ξηραντικόν. ἀλθήεντα δὲ, τὸν εἰς ὑγείαν λαμβανόμενον. ὅ ἐστι θεραπευτικόν. ὀδόντες δὲ οἱ λύσσοντες καὶ μάχεις ἀντιπάλως δὲ ἐχρήσατο. ἔδει γὰρ εἰπεῖν, κνισῶσιν ὀδόντες

ὀδόν-

ὀδόντων. τὴν δὲ κάμπην, τινὲς μὲν βοτάνην εἶναί φασι. τινὲς δὲ τὸ ζωύφιον ὑπίλαβον. ἀγριάδος δὲ μαλάχης, κατὰ διαίρεσιν τῆς ἀγριομαλάχης, ἣν καὶ ἀλωΐαν καλοῦσιν. ἐγκύμονα δὲ κεκλασμένον, ἁπαλόν, μήπω ἐξηνθηκότα. ἰαύοις δὲ, κοιμίσαιο. τεύχεο δὲ, ἤγουν ἀνάμιξε ἐν τῇ κοιλότητι τῆς θυείας. μυλόεντι δὲ, λίθῳ τῷ μυλοειδεῖ. ὀράμνους δὲ τοὺς κλάδους, κατὰ συγκοπὴν δὲ εἶπεν, διὸ ὀροθάμνους, παρὰ τὸ ὀρνύειν. τὸ δὲ ὀδελοῦ, ἀντὶ τοῦ ὀβελοῦ, δωρικῶς ἤγουν αἰολικῶς. καὶ Θεόκριτος, δύναται τὸ βλάπτειν. ὁ δύναται τὸ βούλεται. αἴσιον δὲ ὁλκὴν, ἀντὶ τῆς ἴσην. ἰσοσταθμοῦ γάρ φησι σταθμῷ βαλὼν, ζῆτει. διὰ τὸ αἴσιον, σημαίνει τὸ καλὸν καὶ ἰσόσταθμον πρι εἶναι.

Εἰ δὲ σύ γε τρίψας ὀλίγον ἐν βράσματι κάμπην
κηπείην δροσόεσσαν, ἐπὶ χλωρίδα νώτῳ,
ἠὲ σύ γ' ἀγριάδος μαλάχης ἐγκύμονα καρπὸν,
γυῖα πέριξ λιπάσαιο, ἀναίμακτός κεν ἰαύοις.
Τεύχεο δ' ἐν στέρνῳ προβαλὼν μυλόεντι θυείης
Ἐσθλοῦ ἀβροτόνοιο δύω κομόωντας ὀράμνους
Καρδάμῳ ἀμμίγδην, ὀδελοῦ δέ οἱ αἴσιον ὁλκήν.
Ἐν δὲ χυτροπληθῆ καρπὸν νεοθηλέα δαύκου
Ἀφαίνειν τριπτῆρι. τὰ δ' ἐξοχοειδέα πλάσσων,
Τέρσαι ὑποσκιόεντι βαλὼν ἀνεμώδεϊ χώρῳ.
Αὖα δ' ἐν ὄλπῃ θρύπτε, καὶ αὐτίκα γυῖα λιπαίνοις.
Εἴ γε μὲν ἐκ τριόδοιο μεμιγμένα κνώδαλα χύτρῳ
Ζωὰ νέον θορνύντα καὶ ἔνθορα τριάδε βάλλοις,
Δήεις οὐλομένῃσιν ἀλεξητήριον ἄταις.

Δαύκου. τὸ δαύκος, καὶ δαύχου γράφεται. ὑπὸ τινῶν δὲ καὶ γλύκυ. ἔστι δὲ ῥίζιον παρόμοιον σταφυλίνῳ. Ἀντίγονος δὲ λέγει δαῦχον ὁμοίως δάφνῃ πικρὰν εἶναι. χυτροπληθὲς δὲ, ὅσον γεμίσαι τὴν χύτραν. εἰσὶ δὲ δύο γένη τοῦ δαύκου. ἡ μὲν κρητική. ἡ δὲ ἀσιατική. ὁ δὲ Πλούταρχος πλείονα μέν φησιν αὐτῶν γένη εἶναι. τὸ δὲ κοινὸν τῆς δυνάμεως ἰδίωμα δριμὺ καὶ πυρῶδες. καὶ ὡς ἡ γεῦσις αἰσθάνεται καὶ ὄσφρησις, καὶ ἐκ τῆς πείρας δῆλόν ἐστι. καὶ τὰ ἔμμηνα κινεῖ σφόδρα καὶ διαλύει στρόφους ὑπὸ τῆς θερμότητος. καὶ τῶν περὶ τὸν θώρακα παθῶν καθαρτικόν. καὶ λεπτυντικὸν ἔχει σθένος. τὸ δὲ τέρσαι ὑποσκιόεντι, ἀντὶ τοῦ ξηρᾶναί φησιν, ἐν σκιώδει καὶ ἀνεμώδει τόπῳ. μὴ ἐν ἡλίῳ, ἵνα μὴ ἡ ὑγρότης αὐτῶν ξηρανθῇ ὑπὸ τοῦ ἡλίου, καὶ ἀπυρίγυτα γένηται. Αὖα δ' ἐν ὄλπῃ. σκιόψυκτα δὲ καὶ ξηρὰ ὄντα, θρύπτε ἐν ὄλπῃ, ἀντὶ τοῦ, ἐν ληκύθῳ. καὶ οὕτως ἄλειφου, ὅτι καιρὸς καλεῖ. Εἴ γε μὲν. κνώδαλα κυρίως μὲν τὰ θαλάσσια, παρὰ τὸ κινεῖσθαι ἐν τῇ ἁλί. καταχρηστικῶς δὲ νῦν τὰ ἑρπετὰ λέγει. ὁ δὲ Ὀππιανὸς, κνώδαλά φησι τὰ τῶν θηρίων γένη, ὧν καὶ μνείαν ποιεῖται ὁ Νίκανδρος περὶ κνωδάλων, καὶ λέγει, διὸν αἱμορροΐας καὶ κεράστας καὶ τριχοφθόρους, ἤδη χοίρους. μεμιγμένα δὲ, ἤγουν συνουσιάζοντα, διότι ἐν τῷ καιρῷ τῆς συνουσίας βρωμοῦσι, καὶ ἀποστρέφονται τὸν ἑαυτῶν βρῶμον. Δραχμάων, τὸ ξίον μέρος τοῦ δικαίζου τῆς δραχμῆς. τὸ ξίον δὲ τοῦ δικαίζου, ξιακοστόν ἐστι τοῦ ὅλου. ὁ ξιπλάσιον τοῦ δικαίου. τουτέστι ξιάκοντα δραχμάς. ξίφαζον οὖν ἀντὶ τοῦ ξίλικον. διὸν ξιπλοῦν δικαίζα, τουτέστι ξιάκοντα δραχμάς. ὁ χοῦς τὰ δώδεκα κοτύλας ἔχει. ξίζον οὖν

τῶν

τῶν ιβ' φησίν. Ἐν δὲ, τρίτην μοῖραν, ἀντὶ τοῦ δ' κοτύλας. ιβ' γὰρ κοτυλῶν ἐστιν ὁ χοῦς. τὸ δὲ ιβ' τὸ τρίτον, δ'. ἢ καὶ οὕτως. τῶν τριῶν, ῥοδίνων, τοῦ πρώτου ὡς ἐξόχου, φησὶ χρῶνται. τρεῖς γὰρ ἀποστάσεις ποιεῖ τὸ ῥόδον. πρώτην, μέσην, καὶ τελευταίαν. ἀντὶ τοῦ ἐν τρισὶν ἀγγείοις χὴν ποιήσῃ τὴν δευτέραν ἀπόστασιν, μεταβάλλουσιν αὐτὸ ἐν τῷ τρίτῳ ἀγγείῳ. καὶ οὕτω τρεῖς ἀποστάσεις ποιεῖ. Πολύτριπτον. ἐπειδὴ πολλὰ εἴδη ῥοδίνου, καὶ τὸ μὲν, πρῶτον. τὸ δὲ, μέσον. τὸ δὲ, μικρὸν καλοῦσιν, ὃ δὴ πολύτριπτον εἶπεν ἢ τὸ ἔξοχον.

Ἐν μὲν γὰρ μυελοῖο νεοσφαγέος ἐλάφοιο,
Δραχμάων πίσυρας δεκάδος καταβάλλεο βρῖθος
Ἐν δὲ τρίτην μοῖραν ῥοδέου χροὸς, ἥν γε θυωροὶ
Πρώτην μεσσατίην τε πολύτριπτον καλέουσιν,
Ἰσόμορον δ' ὠμοῖο χέειν ἀργῆτος ἐλαίου.
Τετράμορον κηροῖο. τὰ δ' ἐν περιηγέι γάστρῃ
Θάλπε κατασπέρχων, ἔστ' ἂν περιστάρκες ἀκάνθης
Μελδόμεναι θρύπτωνται. ἔπειτα δὲ λάζεο τυκτὴν
Εὐεργῆ λάκτιν. τὰ δὲ, μυρία πάντα ταράσσειν,
Συμφύρδην, ὀφίεσσιν, ἑκὰς δ' ἀπόερσον ἀκάνθας.
Καὶ γὰρ ταῖς, κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός.
Γυῖα δὲ πάντα λίπαζε καὶ εἰς ὁδὸν ἢ ἐπὶ κοῖτον.
Ἢ ὅταν αὐαλέου θέρεος μετ' ἀλώια ἔργα,
Ζωσάμενος, θρίναξι βαθὺν διακρίνεαι ἄντλον.
Εἰ δέ που ἐν δακέεσσιν ἀφορμάκτῳ χροῒ κύρσῃς
Ἀκμηνὸς σίτων, ὅτε δὴ κακὸν ἄνδρας ἰάπτει,
Αἶψά κεν ἡμετέρῃσιν ἐρωήσειας ἐφετμαῖς.
Τῶν, ἤτοι θήλεια παλίγκοτος ἀντομένοισι.
Δάγματι πλειοτέρη. καὶ ὁλκαίην ἐπὶ στεινήν.
Τοὔνεκα καὶ θανάτοιο θοώτερος ἵξεται αἶσα.

Ἰσόμοιρον. ἰσόμοιρον λέγει, τὸ ἴσον τοῦ ὀμφακίνου ἐλαίου. ἀντὶ τοῦ δ' κοτύλας. ἀργῆτος δὲ, τοῦ λευκοῦ ἢ λαμπροῦ ἢ καθαροῦ, τοῦ ἐξ ὠμῆς ἐλαίας γεγονότος. ἐν δὲ τῷ τετράμορον, λείπει ὁ καὶ σύνδεσμος. ἵν' ᾖ καὶ τετράμοιρον κηροῦ. τῶν δὲ τεσσάρων τὸ δ' κοτύλη μία ἐστί. λάκτις δὲ ἡ λεγομένη παρὰ τοῖς ἀττικοῖς ἀλετρίβανον. νῦν δὲ λέγει τὴν τορύνην τὸ κίνητρον. ἄκανθα δὲ, κυρίως μὲν ἡ σπεῖρα τοῦ δράκοντος. νῦν δὲ λέγει τὸν δράκοντα. ἄφελε οὖν φησι καὶ ἀποχώρισον τὰς φολίδας καὶ τὰ λεπίσματα. ὁ δὲ θρίναξ, γεωργικόν ἐστι σκεῦος, ἔχον τρεῖς ἐξοχὰς καὶ σκόλοπας ἀπεξυσμένους ᾧ τὰς ἀστάχυας τρίβουσι. δακέεσσι δὲ τοῖς θηρίοις νῦν δὲ ταῖς ἀσπίσιν. ἀφόρμακτον δὲ, τὸ μὴ ἀλειμμένον. εἰ δ' εἰδὼν οὕτω ταῖς ἀσπίσιν ἐντύχοις, ταχέως ἂν ταῖς ἡμετέραις προστάξεσιν ὑποχωρήσοις καὶ ἐκφύγοις τὰ δήγματα καὶ τὸν θάνατον τὸν ἐξ αὐτῶν. Τῶν, ἤτοι θήλεια. περὶ τῆς ἀσπίδος λέγει, ἣν καὶ διψάδα φησί. τὸ γὰρ θηλείας τὸ σῶμα μεῖζον, καὶ πα-

βάλλουσιν ἔλαιον. καὶ ἐν τῷ ἑνὶ ἐξ αὐτῶν βάλλουσι τὸ ῥόδον. καὶ ποιοῦσι τὴν πρώτην ἀπόστασιν τὴν εὐεργεστέραν. καὶ ὅταν ἀποβραχῇ ἐν τῷ πρώτῳ ἀγγείῳ, καὶ ποιήσῃ τὴν πρώτην ἀπόστασιν, αἴρουσιν αὐτὸ, καὶ μεταβάλλουσιν ἐν τῷ δευτέρῳ ἀγγείῳ, καὶ ὅταν βρα-

χυτέρα ἡ κεφαλή. τὸ δὲ παλίγκοτος, οἷον ὀργίλη ἐστὶ τοῖς ἀπαντῶσι τῷ δήγματι πλατυτέρα. ἀντὶ τοῦ μείζων τῷ σώματι καὶ βαρυτέρα τῷ δήγματι. στικτέον δὲ εἰς τὸ ἀντωμένῃσι.

τὸ δὲ ὁλκαίη, ἀντὶ τοῦ τῇ ὁλκῇ τοῦ σώματος. κυρίως δὲ ὁλκὴ, ἡ κατὰ τὴν οὐρὰν σῶμα. ἀπὸ κοινοῦ οὖν τὸ πλατυτέρη.

κέρκον. ὁλκὴ δὲ ἡ οὐρά. γωνιαὶ δὲ αἱ κατὰ δύσεις, αἱ ἐν τοῖς κοίλοις τόποις γινόμεναι οὕτω καλοῦνται. Λίπτησιν. ἤγουν ὅταν ἐπιθυμίαν ἔχῃ νομοῦ, τουτέστι βοσκῆς. ἢ ὅτε πρὸς βοσκὴν κεκορεσμένη ἤδη τὸ κοιμηθῆναι πορεύεται. Μηδὲ σύγ' ἐνὶ τριόδοισιν, ἀπὸ κοινοῦ, ὅτε

τὸ δὲ πλατυτέρη ἡ κατὰ τὴν οὐρὰν τοῦ σώματος βούλεται σημαίνειν ὅτι τὸ ἄκρον τῆς οὐρᾶς αὐτῆς παχύ ἐστι. σφρὰν δὲ τὴν περιέχειν φησίν. οἱ δὲ τὸ ὁλκαίη ὡς αἰτιατικὴν δέχονται τὴν σφρὰν ἐκλαβόντες, σφρὰν νοοῦσι ἀντὶ τὴν οὐράν καὶ ἔσται οὕτως, πλατυτέρη κατὰ τὴν ὁλκαίην ἤγουν ἑλκομένην σειρὰν ἤγουν οὐράν. ἰστέον ὅτι ὁ Νίκανδρος πανταχοῦ δάγμα διὰ τοῦ α, καὶ οὐ δῆγμα φησί. τὸ δὲ, ζώντης, ἢ ὅτι ἐπειδὴ τῷ σώματι μείζων, ἢ ὅτι ὀργίλη τῷ δήγματι.

Ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι,
Πληϊάδων φάσιας δεδοκημένος. αἳ δ' ὑπὸ ταύρου
Ὁλκαίην ψαίρουσαι, ὀλίζωνες φορέονται.
Ἢ ὅτε σὺν τέκνοισι θερειομένοισιν ἐς βοσκὰς,
φωλειοῦ λοχάδην ὑπὸ γωλεὰ διψὰς ἰαύῃ.
Ἢ ὅτε δ' ἠλίπτῃσι μεθ' ὁμνομὸν εἶσιν ἐπὶ κοίτην
Ἐκ νομοῦ ὑπνώουσα κινῇ κεκορημένη ὕλης,
Μὴ σύγ' ἐνὶ τριόδοισι τύχοις, ὅτε δ' ἄγμα πεφυζὼς
Περκνὸς ἔχις θύνῃσι τυπὴν ψολόεντος ἐχίδνης
Ἡνίκα θορνυμένου ἔχιος, θολερῷ κυνόδοντι
Θουρὰς ὀδὰξ ἐμφῦσα, κάρην ἀπέκοψεν ὁμεύνου.
Οἱ δὲ, πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
γεινόμενοι ἔχιες. ἐπεὶ διὰ μητρὸς ἀραιὴν
γαστέρ' ἀναβρώσαντες, ἀμήτορες ἐξεγένοντο.

Ἀλλ' ἤτοι θέρεος. οἷον ἀρχομένου τοῦ θέρους. πικρότατά εἰσι τὰ ἑρπετά. τὸ δὲ ἐξαλέασθαι, ἀπαρέμφατόν ἐστιν ἀντὶ προστακτικοῦ. ἤγουν ἐξάλυξον. ἔκφυγε. Ὁλκαίην ψαίρουσαι. αἵτινες ὑπὸ τὴν οὐρὰν τοῦ ταύρου ἱδρίζουσαι, καὶ ἁπτόμεναι. ἢ ψαίρουσαι ἀντὶ τοῦ κινούμεναι. ἢ μικρόταται τῶν ἄστρων φαίνονται. λέγει δὲ ἐν ταῖς ἐπιτολαῖς τῶν πλειάδων. τότε δὲ ἔκφυγε τὸ δάγμα. ὁλκαίην δὲ τὴν οὐρὰν λέγει. παρὰ τὸ ἕλκεσθαι ὑπὸ τοῦ ὅλου σώματος. ἀγράφεται καὶ ὁλκαίη καταχρηστικῶς. κυρίως δὲ ἡ τοῦ λέοντος οὐρὰ, ὁλκαία καλεῖται. ὅτι δὲ αὐτῇ ἑαυτὸν ἐποξύνει μάχεσθαι. σημείωσαι δὲ ὅτι Ἄρατος μὲν ἡμιτελῆ φησιν εἶναι τὸν ταῦρον. οὗτος δὲ ὁλό

τὸ δάγμα τῆς ἀσπίδος φεύγεις, μὴ τύχοις τοῦ ἔχεως ὅτε εἰς φυγὴν ἐν τῇ συνουσίᾳ τραπέντι. διότι ἡ ἔχιδνα ἀναιρεῖ αὐτὸν τότε. περκνὸς δὲ, ὅτι ποικίλος ὁ ἄρσην ἐστί. καὶ τὸ θύνῃσιν, ἀντὶ τοῦ ὁρμᾷ. ἤγουν φεύγει καὶ ἐκκλίνει τὴν τυπὴν τῆς τεφρώδους ἐχίδνης. ψολόεντα γάρ φησι τὸν πυρώδη καὶ τεφρώδη. τὸ δὲ σχῆμα μετάληψις ἀντὶ τοῦ ψολοέσσης ἐχίδνης. δῆγμα δὲ καὶ τυπὴ ἐκ παραλλήλου τὸ αὐτό. τὸ δὲ θορνυμένου, ἀντὶ τοῦ συνουσιαζομένου καὶ μιγνυμένου.

Θολερῷ δὲ τῷ φθοριμαίῳ. στόματι ἃ συνέχονται αἱ ἔχιδναι. ἢ τῷ ὀλεθρίῳ. ὀδὰξ δὲ ἤγουν δηγματικῶς καὶ τμητικῶς συμπλακεῖσα.

μῖσα τῷ ἄρρενι γράφεται δὲ καὶ ἄμυξ. ἀντὶ τοῦ συμμυκτικῶς καὶ καταξυστικῶς ἐμφῦσα αὐτῷ. συνουσιάζονται γὰρ οἱ ἔχεις ταῖς ἐχίδναις. καὶ μετὰ τὸ συνουσιάσαι, ἀναιρεῖ τὸν ἄρρενα ἡ θήλεια, τὴν κεφαλὴν ἀποκόπτουσα. τὰ δὲ ἔμβρυα πάλιν τιμωροῦνται, τὴν γαστέρα τῆς μητρὸς. τὰ ἴχνη ἢ τὰς κινήσεις καὶ διώξεις. ὁ σκαρθμὸς, ὁ διὰ ποδῶν ἀσπασμὸς τῶν θηρίων. αὗται γὰρ ἀσπάζονται τοῖς μυκτῆρσι τὰς ὄφεις ἐκ τῶν καταδύσεων τὸ δὲ ὅλον οὕτως. καὶ ὁπότε τὸν ἐξελκυσμὸν τὸν διὰ τῶν μυκτήρων ἐκκλίνας ὁ ὄφις καὶ φυγὼν, καὶ πλήρης ὢν χολῆς, ἐνερείσῃ καὶ προσπελάσῃ τὸ στόμα ἀνθρώπῳ τινὶ, διαφθείρει. τὸ δὲ ἰὸν σκληρόν.

Οἴη δὲ βρύθει ὑπὸ κύμασι· τοὶ δὲ καθ' ὕλην
Ὠοτόκοι ὄρνιες λεπυρὴν θάλπουσι γενέθλην.
Μὴ δ' ὅτε ῥικνῆεν φολίδων ἀπὸ γῆρας ἀμέρσας,
Ἂψ ἀναφοιτήσῃ νεαρῇ γε κεχαρμένος ἥβᾳ.
Ἢ ὁπότε σκαρθμοὺς ἐλάφων ὀχεῇσιν ἀλύξας
Ἀνδρὸς ἐνισκίψῃ χολόων θυμοφθόρον ἰόν.
Ἔξοχα δ' ἐν δολιχοῖσι κνωπεῦσι κοτέουσι
Νεβροτόκοι καὶ ζόρκες, ἀνιχνεύουσι δὲ πάντα
Τρόχμαλά θ' αἱμασιάς τε καὶ εἰλυοὺς ἐρέοντες,
Σμερδαλέῃ μυκτῆρος ἐπισπέρχοντες ἀϋτμῇ.
Ναὶ μὴν καὶ νιφόεσσα φαείνεται δυσπαίπαλος ὄθρυς
Φοινὰ λάπη, κοίλη τε φάραγξ καὶ τρηχέες ἀγμοί.
Καὶ λέπας ὑλῆεν, τόθι δίψιος ἐμβατέει σήψ,
Χροιῇ δ' ἀλλόφατόν τε καὶ οὐ μίαν οἰάδ' ὀπωπῇ,
Αἰὲν ἐειδόμενος χώρῳ, ἵνα χηραμὰ τεύχει.

κνωπεῦσι δὲ, κοινῶς μὲν πᾶσι τοῖς ἑρπετοῖς. ἰδίως δὲ νῦν τοῖς ὄφεσιν. ὀργίζονται δὲ αὐτοῖς οἱ νεβροτόκοι καὶ ζόρκες. ἤγουν αὐτοὶ οἱ ἔλαφοι καὶ αἱ δορκάδες. Τρόχμαλα. τρόχμαλα οἱ τραχεῖς τόποι. καὶ πετρώδεις. ἢ αἱ τρίβοι καὶ τὰ ἴχνη. ἢ τὰ ἐγκοῖλα τῶν ἀγρῶν τείχεα. τὸ δὲ ἐρέοντες. ἀντὶ τοῦ ζητοῦντες, διώκοντες. καὶ ἰχνοσκοποῦμενοι τοῖς μυκτῆρσι τὰς καταδύσεις. Ὄθρυς. τὸ Ὄθρυς, ὄνομα ὄρους Θεσσαλίας, ὅπου ὁ σὴψ γίνεται. πλεονάζει γὰρ ἐκεῖ τὸ θηρίον τοῦτο. δίψιος δὲ,

ζώξαντα τῆς μητρὸς, οὕτως διέρχονται θανατοῦντα αὐτὴν, καὶ ὡσανεὶ τοῦ πατρὸς ἐκδικοῦντα τὸν θάνατον. μετεκίαθον δὲ, ἀντὶ τοῦ μετῆλθον, ἤγουν τὴν λώβην τοῦ ἰδίου πατρὸς ἐξεδίκησαν. ἀνταμύνουσι γὰρ τῷ πατρί. ἀναβρώσαντες δὲ. ἤγουν ῥηγνῦντες. Οἴη γὰρ, μόνη γὰρ βαρύνεται ὑπὸ τοῦ κύματι τῆς γαστρός ἐπειδὴ μόνη ἐγκύμων γίνεται. οἱ δὲ ἄλλοι πάντες ὄφεις ᾠοτοκοῦσι. ῥικνῆεν δὲ ῥυπαρὸς. παλαιὸν ἢ τὸ ῥυσσόν. ἢ τὸ ξηρόν. ἀπὸ κοινοῦ δὲ, τὸ μὴ σύγ' ἐνὶ βιότοισι τύχοις. Ἢ ὁπότε σκαρθμοὺς, ἤγουν τὰς διαδρομάς. ὁ ξηρὸς. διὰ τὸ μὴ παρ' ὑδατώδεσι τόποις φωλεύειν ἀλλ' ὀρεινοῖς. ἢ ὁ ποιῶν δίψαν τοῖς δακνομένοις. φοινὰ δὲ τὰ λάπη. τὰ φοινικὰ θηρία. Καὶ τρηχέες ἀγμοί. οἱ τραχεῖς καὶ πετρώδεις τόποι. παρὰ τὸ κατάγνυσθαι. λέπας δὲ ἀκρωτήριον. ἀλλόφατον δὲ λέγεται, ὅτι μεταβάλλεται εἰς χρώματα πολλά. καὶ πρὸς ὃν τινα εἰσέλθῃ τόπον, τούτῳ ἴσον τὸ χρῶμα αὐτοῦ τοῦ τόπου μεταβάλλεται. τὸ δὲ οἰάδα, παρονυματικῶς εἴρηται συνετέθη γὰρ ἐκ τοῦ οἶος ὁ μόνος, οἰαδόν. ὥσπερ ἐκ τοῦ μόνος μοναδόν. Χηραμὰ, τὰς καταδύσεις. λέπας καὶ δὲ τὰ τραχεῖς τόπους. ἑρμηνεύεται

Τῶν, οἱ μὲν, λιθακάς τε καὶ ἕρμακας ἐνναίουσι
Παυρότεροι τρηχεῖς τε καὶ ἔμπυροι. οὔ κεν ἐκείνων
Ἀνδράσι δῆγμα πέλει μεταμώνιον, ἀλλὰ κακηθές.
Ἄλλος δ' αὖ κόχλοισι δομὴν ἰνδάλλεται αἴης.
Ἄλλος δ' ἐγχλοάουσα λεπὶς περιμήκεα κύκλον
Ποικίλον αἰόλλει. πλέες δ' ἀμάθοισι μιγεῦντες,
Σπείρῃ λεπτύνονται ἀλινδόμενοι ψαμάθοισι.
Φράζεο δ' αὐαλέαις μὲν ἐπὶ φρικτὴν φολίδεσσιν
Ἀσπίδα φοινήεσσαν, ἀμυδροτάτην δ' ἄκος ἄλλων.
Τῇ μὲν γάρ τε κέλευθος ὁμῶς κατεναντίον ἕρπει
Ἀζαλέον ὁλκαίην δολιχῷ μηρύγματι γαστρός.
Ἡ καὶ σμερδαλέον μὲν ἔχει δέμας. ἐν δὲ κελεύθῳ
Νωχελὲς ἐξ ὁλκοῖο φέρει βάρος. ὑπναλέοις δὲ
Αἰὲν ἐπιλλίζουσα φαείνεται ἐνδυκὲς ὄσσοις.

δὲ, τὰς ἑρμαίους καὶ λιθώδεις τόπους. ἕρμακας, λίθους σεσωρευμένους εἰς τιμὴν τοῦ Ἑρμοῦ. τραχεῖς δὲ οἱ ὀρεινοί. πικρότατοι γάρ εἰσι, διὰ τὸ πυρῶδες τῶν δηγμάτων. καὶ ἔμπυροι δὲ, οἱ χαλεπώτατοι, καὶ φλέγοντες τοῖς ἀλγήμασι τοὺς πληγέντας. ἄλλοι δ' αὖ τοῖς κόχλοις τῆς γῆς τὴν δομὴν ἤγουν τὸ σῶμα ἀφομοιοῦνται. τῆς γῆς δὲ κόχλοις εἶπεν, ἐπεὶ καὶ θαλάσσιοί εἰσιν. ἡ δὲ λεπὶς, γράφεται ἔν τισι καὶ λοφὶς. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν ἰχθύων. ὁ δὲ λόγος, ἄλλου δὲ ὄφεως ἐγχλωρίζουσα ἡ λεπὶς, τὴν ἐπιμήκη τετορνευμένην σπεῖραν ποικίλλει. τὸ δὲ σπείρῃ λεπτύνονται, ἀντὶ τοῦ ἢ παχύνονται ἢ λευκαίνονται. ἀφ' οὗ καὶ ἡ ἐν τοῖς σώμασι παρὰ φύσιν λευκότης, καλεῖται λέπρα. ὁ δὲ λόγος, πολλοὶ δὲ διαβαίνοντες ἐν τῇ ἄμμῳ, ὑπολευκαίνονται τὴν σπεῖραν, ἀλινδούμενοι καὶ κυλιόμενοι τοῖς ἄμμοις. ἄμαθος δὲ ἡ χερσαία κόνις. ψάμμος δὲ θαλάσσιος. οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε. ἐν τούτῳ δὲ γενόμενος ὁ Νίκανδρος, ποιεῖται τὴν τῶν ζώων ἐναρίθμησιν. καὶ τὰ ἰδιώματα τῶν πληγῶν, καὶ τὰ συμβαίνοντα πάθη τοῖς ὑπὸ τῶν ἑρπετῶν πληγεῖσιν, ἀρξάμενος ἀπὸ τῆς ἀσπίδος.

Φράζεο δ' αὐαλέαις. τὴν φρίσσουσαν ταῖς καταξήροις φολίσι φονευτικὴν ἀσπίδα, τὸ χαλεπώτατον τῶν ἄλλων θηρίων σκέπτου. τὸ δὲ ἀμυδρὸν, ὅτι μὲν ἀσθενὲς, ὅτι δὲ καὶ ἀνένδοτον καὶ χαλεπόν. Δημήτριος δέ φησιν ἐρεῖσθαι ἀμυδρότατον δάκος τῆς ἀσπίδος, καθ'

ὅσον οὐκ ἄπρακτόν ἐστι καὶ ὀξὺ τὸ ζῶον, ἀλλὰ μόνον τῇ φύσει χαλεπόν. δύναται δὲ κατ' ἀμφότερα, χαλεπὸν μὲν λέγεσθαι διὰ τὸ ἀνίατον. ἀμυδρὸν δὲ διὰ τὸ νωχελὲς, ὃ καὶ χωρὶς ἀλγημάτων ἀναιρεῖ. τὸ δὲ ἀμυδρὸν, ἀντὶ τοῦ χαλεπὸν καὶ παρ' Ἀρχιλόχῳ εὕρηται, εἰπόντι ἀμυδρὰν χοιράδ' ἐξαλευάμενος. εὕρηται δὲ παρ' αὐτῷ Νικάνδρῳ καὶ ἀντὶ τοῦ ἐκκινεῖν, ὡς ἐπὶ τῆς ἰκτίδος. καὶ παρὰ τὸ αὐτὸ ἐπὶ τοῦ χαλεποῦ. καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει. ἢ ἀμυδρότατον ἐνταῦθα εἴρηκε τὸ ἀσθενέστατον καθ' ὅσον ἀσθενοποιός τίς ἐστιν ἡ πληγή. Κέλευθος ὁμῶς. κατεναντίον τοῖς κράσι ὁ μὲν καὶ πλαγίως βαδίζει. ἡ δὲ, τοὐναντίον. ἡ σύνταξις δέ, ταύτης μὲν καὶ ἡ ὁδὸς κατεναντίον οἱονεὶ κατ' εὐθεῖαν καὶ ὀρθῶς γίνεται τῷ μακρῷ διασπασμῷ καὶ εἰλιγμῷ τῆς γαστρὸς, κατὰ τὴν ὁλκαίην ἀζαλέην, οἱονεὶ τὴν ἐπιμήκη ὁδόν. δολιχῷ δὲ μηρύγματι γαστρός. οἱονεὶ τῷ ὁλκῷ, ἢ τῷ βαδίσματι καὶ ἐπισπασμῷ

πας μὲν ἀπὸ τοῦ μακρύνεσθαι. ἀκατάλληλα δὲ τὰ ἔπη. ἔδει δὲ οὕτως ἀναγινώσκεσθαι. φράζεο δῆτα ἀσπίδα φοινήεσσαν. εἶτα καὶ σμερδαλέον μέν. εἶτα νωχελὴς δὲ ὁλκαῖο. εἶτα τῇ μὲν γάρ τε κέλευθος. εἶτα ἀβλαβὴν ἑλκηδὼν. Σμερδαλέον. φοβερὸν μὲν καὶ καταπληκτικὸν

τουτέστι μερμηρίζων, διὰ εἰλιγμοῦ τῆς ἀσπίδος. ἅλωνα δὲ, λέγεται μὲν καὶ ὁ δίσκος τοῦ ἡλίου καὶ τῆς σελήνης, ἔτι δὲ καὶ ἡ περὶ τὸν ἥλιον καὶ περὶ σελήνην γινομένη πολλάκις νέφωσις. ἔτι δὲ καὶ ὁ τόπος ἐν ᾧ ἀλοῶσι. νῦν δὲ τὴν σπεῖραν καὶ τὸ σῶμα τῆς ἀσπίδος. μᾶλλον δὲ τὴν ἐκ τοῦ εἰλιγμοῦ αὐτῆς γενομένην περιφέρειαν. Αἰγανέη δὲ τὸ ἀκόντιον, ἀπὸ μέρους τοῦ αἰγείου ἱμάντος. ὃν ἐξαγκυλούμενοι βάλλουσι. λέγει δὲ τὸν μεσάγκυλον τὸν ἀναιροῦντα τὰ θήρας. καὶ ἴσως εἴρηκε περὶ τὸ ἄγαν νεῖσθαι. ὀργυιῇ δὲ μετρητὸν, ἀντὶ τοῦ ἴσον καὶ μεμετρημένον ὀργυιᾷ. τὸ δὲ, εἰς ἐνοπὴν ταύρων, στίχον τινὲς ἀθετοῦσιν. ὡς μὴ Νικάνδρου εἶναι. Χροιὴ δ' ἄλλοτε μὲν, τὸ δὲ χρῶμα τοῦ γένους τῶν ἀσπίδων, τινῶν μὲν ψαφαρὸν. ὅ ἐστι λευκὸν ἢ αὐχμηρόν. τινῶν δὲ μηλινόεν. τουτέστι χλωρὸν, καὶ μήλινον καὶ ποικίλον. καὶ ὠχρόν. τινῶν δὲ, τεφρῶδες. καὶ σποδῶδες. ἢ καὶ τῇ ἰλύϊ τοῦ Νείλου ἐμφερές. αἰθαλόεσσα δὲ ἤτοι πυρώδης καὶ λαμπρά. ἢ ξανθή, καὶ ὁμοίως διὰ βώλῳ τῶν αἰθιόπων μελαινομένη. Οἵῳ τε πολύστονος. ἐπεὶ μετὰ στόνου καὶ ἤχου ῥεῖ ὁ Νεῖλος. στόνον γὰρ τὸ ἦχον. καὶ Ὅμηρος· στοναχῆσε δὲ γαῖα λαῶν ἰόντων. εὕρηται δὲ καὶ πολύσπορος. ἐπειδὴ ἐπλάσατο ὁ Νεῖλος ἐστὶ κατὰ τὴν παροιμίαν Διονύσιον. πληξάμενος δὲ ἤγουν ἑαυτὸν ἐμπλήσας καὶ πληρώσας. ἄσιν δὲ τὸν ῥύπον. φησὶ γοῦν οἷον ῥύπον κατέχει καὶ κατήγαγεν ὁ Νεῖλος, ἑαυτὸν πληρώσας. Δοιοὶ.

Ἀλλ' ὅταν ἠδ' οὔπω νέον οὔασιν ἤ τιν' αὐδὴν
Ἀθρήσῃ, νωθρὸν μὲν ἀπὸ ῥέθεος βάλεν ὕπνον.
Ὁλκῷ δὲ τροχόωσαν ἅλων' εἱλίξατο γαίῃ.
Σμερδαλέον δ' ἀνὰ μέσσα κάρη πεφρικὸς ἀείρει.
Τῆς ἤτοι μῆκος μὲν, ὃ κύντατον ἔτρεφεν αἶα,
Ὀργυιῇ μετρητὸν, ἀτὰρ περιβάλλεται εὖρος,
Ὅσσον τ' αἰγανέην δουροξόος ἤνυσε τέκτων,
Εἰς ἐνοπὴν ταύρων τε βαρυφθόγγων τελεόντων.
Χροιὴ δ' ἄλλοτε μὲν ψαφαροῖς ἐπιδέδρομε νώτοις,
Ἄλλοτε μηλινόεσσα, καὶ αἰόλος, ἄλλοτε τεφρή.
Πολλάκι δ' αἰθαλόεσσα μελαινομένη ὑπὸ βώλῳ,
Αἰθιόπων. οἵῳ τε πολύστονος εἰς ἅλα Νεῖλος
Πληξάμενος κατέχευεν ἄσιν, προὔτυψε δὲ πόντῳ.
Δοιοὶ δ' ἐν σκυνίοισιν ὑπερφαίνουσι μετώπου
Οἷα τύλοι. τὸ δ' ἔνερθεν ὑπαιφοινίσσεται ὄμμα (χήν.
Πολλὸν ὑπὸ σπείρης. ψαφαρὸς δ' ἀναπίμπλαται αὐ-

κὸν ἔχει ἀπὸ τῆς ὄψεως, ἄλλως δὲ ἐν τῇ πορείᾳ καὶ διὰ ἑλκυσμοῦ τοῦ σώματος, νωχελής ἐστι καὶ ὑπνώδης. τὸ γὰρ ὑπνηλοῖς ἐπιλλίζειν ὄσσοις, τοῦτο δηλοῖ, ὅτι συνεχῶς τοῖς ὄμμασιν ἐπινύουσα φαίνεται. Ἀθρήσῃ. αἴσθησιν ἀντὶ αἰσθήσεως. ὡς ἀπὸ τοῦ ὁρῶ οἷα λέγεις. νωθρὸν δὲ τὸν νωθῆ καὶ νωθείαν ἐμποιοῦντα καὶ ἀργίαν. Ὁλκῷ. διὰ δὲ ὁλκοῦ τοῦ σώματος τροχώδη καὶ κυκλοτερῆ ἁλωνίαν εἱλίξατο ἐν τῇ γῇ. ἅλωνα δὲ εἶπεν, ἐπεὶ καὶ αὗται αἱ ἁλωνίαι τροχοειδεῖς καὶ κυκλοτερεῖς εἰσι διὰ σχήματι τῷ

τουτέστι περὶ τὰς ὀφρῦς ὑπεράνω τοῦ μετώπου, ὑπερφαίνουσι καὶ ἐξέχουσιν οἷα τύλοι, οὐ κέρατα, ἀλλὰ τύλοι καὶ σαρκία τινά. ἤγουν κατὰ τὸν τόπον τῶν ὀφρύων, ἐξοχαί τινές εἰσι τύλοις ἐοικυῖαι περὶ τὴν ἀσπίδα. δι' ὧν ἔγκοιλον αὐτῆς φαίνεται τὸ ὄμμα. καὶ ὁ αὐχὴν δὲ ἐμπίπλαται φυσῶντος τοῦ θηρίου. τὸ δὲ τριφύζειν πολλαχῶς λέγεται. καὶ ποτὲ μὲν, ἐπὶ τοῦ ἐκφοβεῖν, ὡς Σώφρων ἐν μίμοις παιδικοῖς· τριφύζεις. ποτὲ δὲ ἐπὶ τοῦ πνεῖν, ὡς Εὐφορίων. ζεφύρου μέγα τριφύξαντος. μεταπλασμῷ δὲ πάλιν κέχρηται. ἀπὸ τοῦ τριφύζοντος ἀσπίδος εἰπὼν τριφύσσοντας ὡς ὁ αὐτὸς ἐν ἄλλῳ τόπῳ ψολόεντας ἐχίδνας εἶπεν. πολλὸν ὑπὸ σπείρης ἀντὶ τοῦ ἐντὸς τῆς σπείρης. ψαφαρὸς δὲ, οἷον αὐχμηρὸς ὀγκοῦται ὁ αὐχὴν, τοῦτο γὰρ σημαίνει τὸ ἀναπίμπλαται. καὶ ἄκριτα, ἀντὶ τοῦ μεγάλα ἄτακτα. τὸ δὲ τριφύσσοντος, ἓν μέρος λόγου ἐστὶ, ἀντὶ τοῦ φυσῶντος. τὸ δὲ ὁδίταις, γράφεται καὶ ὁδούροις, ἤγουν ὁδοιπόροις. αἶδα δὲ προσμάξηται, ἀντὶ τοῦ προσπελάσῃ καὶ ἐμβάλῃ αὐτοῖς θάνατον. ἄγαν ὀργίλως θυμουμένη. δολιχήρεες δὲ τουτέστι μακροὶ ἢ πρὸς μῆκος ἐρηρεισμένοι. δι' οὗ σημαίνει τὸ σὺν μήκει ἰσχυρόν. μύχατος δὲ χιτών. ὑποκάτω γὰρ τῆς γλώσσης τῆς ἀσπίδος χιτών ἐστιν, ὃς καλύπτει τοὺς ὀδόντας αὐτῆς, καὶ ὑποκάτω αὐτοῦ τοῦ χιτῶνος ἰὸς ἔγκειται. ὑμενώδης δὲ ἐστὶ χιτὼν καὶ συζευγμένος. πρὸς τὸ εὐδέχεσθαι διὰ τῶν πόρων τὴν βορὰν αὐτῆς. ὁ χιτών ἐστι λέπασμα. ὃς δὴ χιτὼν καλύπτει τοὺς ὀδόντας αὐτῆς. Οὔτε δυσαλθὲς οὔτε δυσίατον οἴδημα ἐπιφλεγμαίνεται. καμάτου δ' ἄτερ. χωρὶς δὲ ὀδύνης ἀπόλλυται ὁ ἀνήρ. ὑπνηλὸν δὲ νῶκαρ ἐπάγει αὐτοῖς τελευτὴν τοῦ βίου. νῶκαρ δὲ, ὁ κάρος. ἤγουν ὁ ὕπνος. εἴρηται τοῦ νοῦ κάρος.

Ἄκριτα τριφύσσοντες, ὅτ' ἀντομένοισιν ὁδίταις
Αἶδα προσμάξηται, ἐπιζαμενὲς κοτέουσα.
Τῆς ἤτοι πίσυρες κοῖλοι ὑπένερθεν ὀδόντες
Ἀγκύλοι ἐν γναθμοῖς δολιχήρεες ἐρρίζωνται
Ἰοδόκοι. μύχατος δὲ χιτὼν ὑμένεσσι καλύπτει.
Ἔνθεν ἀμείλικτον γυίοις ἐνερεύγεται ἰόν.
Ἐχθρῶν τευτέρα κεῖνα καρήασιν ἐμπελάσειε.
Σαρκὶ δ' οὔτε τι δῆγμα φαείνεται, οὔτε δυσαλθὲς
Οἶδος ἐπιφλέγεται. καμάτου δ' ἄτερ ὄλλυται ἀνήρ.
Ὑπνηλὸν δ' ἐπὶ νῶκαρ ἄγει βιότοιο τελευτήν.
Ἰχνεύμων δ' ἄρα μοῦνος ἀκήριος ἀσπίδος ὁρμήν,
Ἠμὲν ὅτ' ἐς μόθον εἶσιν, ἀλεύεται. ἠδ' ὅτε λυγρὰ
Θαλπούσης ὄφιος κηροτρόφου ὠεὰ γαίῃ
Πάντα διεσκήνιψε καὶ ἐξ ὑμένων ἐτίναξε
Δαρδάπτων. ὀλοοῖς δὲ συνεξαθάγησεν ὀδοῦσι.

σιν. τὸ δὲ ἰχνεύμων εἶδος ζῴου, πρὸς ὕρακα λέους, ὡς Αἰγύπτιοι. ἀκήριος δὲ, ἤγουν ἄνευ κηρὸς καὶ θανάτου. καὶ γὰρ μόνος ὁ ἰχνεύμων ἄνευ θανάτου τὴν ὁρμὴν τῆς ἀσπίδος ἐκφεύγει καὶ ἐκκλίνει, τοῦτο γὰρ τὸ ἀλεύεται σημαίνει. Ἠμὲν ὅτ' εἶσι, καὶ ὅταν εἰς μάχην συνέρχηται ὁ ἰχνεύμων μετὰ τῆς ἀσπίδος, ἐκφεύγει τὸν θάνατον αὐτῆς. καὶ ὅτε θαλπούσης αὐτῆς τὰ ὠὰ, πάντα λαβὼν διεσκόρπισε καὶ ἐξ ὑμένων ἐτίναξε κατεσθίων. καὶ τὸ κηροτρόφου δὲ, ἤγουν θανατηφόρου, ἢ διὰ τὸ καὶ αὐτὰ τὰ ὠὰ, ἅπερ αὐτὴ θάλπει, θάνατον φέρειν τοῖς ἀνθρώποις.

ὁ δὲ

ἢ διὰ τὸ ἐν ἴδῃ ζέφειν. συνηρραθάγησε δὲ, τουτέστι πρός ἕν τινα κτύπον ἀπετελέσθη ἐν τῷ ὀλοῦσι πετρίνοις. ῥάθαγος μὲν γὰρ ὁ κτύπος ὁ γινόμενος ὑπὸ τῶν κυμάτων, κλωμένων ἀν-

θος δὲ κυρίως ὁ τῆς κώπης κτύπος. Κινωπέτου δὲ θηρίου, τοῦ ἐν τῷ πηλῷ κινουμένου ἰχνεύτου. ἀμυδρῆς δὲ ἤγουν μικρᾶς, ἢ τῆς δυσφανοῦς καὶ ὀρπλας. ἰκτὶς δὲ, ἡ λεγομένη ἀγρία γαλῆ.

Μορφὴ δ' ἰχνεύταο κινωπέτου, οἷον ἀμυδρῆς
Ἰκτῖδος, ἥτ' ὄρνισι κατοικιδίῃσιν ὄλεθρον
Μαίεται, ἐξ ὕπνοιο καθαρπάζουσα πετεύρων.
Ἔνθα λέχος τεύχουσιν ἐπ' ἠερίων. ἢ ἔτ' ἀφαυρὰ
Τέκνα λοχαιβώουσιν ὑπὸ πλευρῇσι θέρουσαι,
Ἀλλ' ὅταν Αἰγύπτοιο παρὰ θρυόεντας ἰάμνους
Ἀσπίσι μῶλον ἄγῃσιν ἀθέσφατον εἱλικοέσσαις,
Αὐτίχ' ὁ μὲν, ποταμόνδε καθήλατο. τύψε δὲ κώλοις
Τάρταρον ἰλυόεσσαν. ἄφαρ δ' ἐφορύξατο γυῖα
Πηλῷ ἀλινδηθεὶς ὀλίγον δέμας εἰσόκε λάχνην
Σείριος ἀζήνῃ, τεύξῃ δ' ἄγναμπτον ὀδόντα.
Τῆμος δ' ἠὲ κάρη λιχμήρεος ἑρπηστᾶο
Σμερδαλέης ἔβρωξεν ἐπάλμενος, ἠὲ καὶ οὐρῆς
Ἁρπάξας, βρυόεντος ἔσω ποταμοῖο κύλισσεν.
Εὖ δ' ἂν ἐχιδνήεσσαν ἴδοις πολυδερκέα μορφήν,
Ἄλλοτε μὲν δολιχήν, ὁτὲ παυράδα τοῖον ἀέξει.
Εὐρώπῃ τ' Ἀσίῃ τε, τὰ δ' οὐκ ἐπιείκελα δήεις
Ἤτοι ἀν' Εὐρώπην μὲν ὀλίζονα. καί θ' ὑπὲρ ἄκρων
Ῥώθωνας, κεραοί τε καὶ ἀργίλιπες τελέθουσιν.
Οἱ μὲν, ὑπὸ σκείρωνος ὄρη, Παμμώνια τ' αἰπὰ,
Ῥύπαιον, Κόρακός τε πάγον πολιόν τ' Ἀσέλωον.
Ἀσὶς δ' ἐργυόεντα καὶ ἐς πλέον ἑρπετὰ βόσκει.

καὶ ὄμβρος κρατὶ δὲ παρακτιδίων, ὡς ἀπὸ τῆς ἰκτίδος τοῦ ζώου. Λοχαιβώουσι κυρίως ἐπὶ μελισσῶν τοῦτο εἴρηται· παρὰ τὴν βόσιν πεῖναι. ἀλλ' ὅμως καὶ τεχρήται τούτῳ καὶ ἐνταῦθα ἢ περὶ βώουσιν, ἀντὶ τοῦ τιθέασι καὶ μικρὰ βώουσιν, ἵν' ᾖ ἡ εὐθεῖα ἀντὶ οὐδετέρου ἀπαιτικῆς. ἰάμνους δὲ, τὰς ἰκμένας τὰς κλάδους. θρυόεντας δὲ τὰς θρυώδεις. θρύον δὲ, εἶδος πόας· ἤγουν θρύον ἢ δὲ κύπειρον. Εἱλικοέσσαις ἑλικοέσσαις, ἤγουν πυρώδεσιν ἢ ἐπιμήκεσι. τάρταρον δὲ, τὸν βυθὸν ἐνταῦθα δὲ εἴρηκε θηλυκῶς. καὶ ἰλυόεσσαν δὲ τὴν ἰλυώδη καὶ βορβορώδη. λιχμήρεος δὲ τουτέστι τοῦ προβάλλοντος τὴν γλῶσσαν ἐν τῷ λιχμάζειν, ὅ ἐστι λείχειν. προβάλλουσι γὰρ οἱ ὄφεις τὰς γλώσσας μέλλοντες λείχειν. Βρυόεντος. βρυάντα λέγει τὸν

τῶν, καὶ προσρηγνυμένων ἐν ταῖς πέτραις. ἀπὸ μεταφορᾶς δὲ τοῦ κτύπου τοῦ ὕδατος ἐπὶ τὸ συνερραθάγησε. ἤγουν κατέαξε. συνέθλασε. συνέτριψε. διὰ τὸ ἐν τῷ βρύχειν αὐτὰ τοιοῦτον ποιῆσαι κτύπον ἀποτελεῖσθαι ὑπὸ τῶν ὀδόντων ῥάγα-

θρυώδη καὶ βοτανώδη τόπον. καὶ γὰρ τὸ βρύον βοτάνη ἐστὶν, ὡς τὸ φύλλον, ὥσπερ πράσου. πολυδερκέα, τὴν κατὰ πολλοὺς τρόπους ὁρωμένην κατὰ τὸν πολύτροπα, ἢ ὡς ἔν τισιν εὕρηται πολυδευκία, δηλαδὴ πικράν.

ποιεῖ ἀντὶ εὐρώπης. οὐχ ὅμοια φησὶ τὰ ἑρπετὰ τῶν δύο γαιῶν. αἱ γὰρ διάφοροι γαῖαι, διάφορα τῶν ἑρπετῶν ἐκβάλλουσιν. ἄκραν δὲ ὑπὲρ ῥώθωνας, ἤγουν ἐξοχὰς ὑπὲρ τῶν ῥώθωνας ἔχουσι. κεραοὶ δὲ, τουτέστι κέρατα ἔχουσιν. ἀρπάλιπες δὲ, ἤγουν ἑλκυνχοι. Ἀρχίλοχος δὲ, ἀργίλιπης φησίν. Οἱ μὲν, ὑπὸ σκείρωνος. σκείρων μὲν, ὄρος μεταξὺ μεγάρων καὶ κορίνθου κείμενον. ὅπου τινὲς σκειρωνίδα πέτραν καλοῦσι. παμμώνια δὲ ὄρη τῆς μεγαρικῆς, ὡς αὐτὸς ἐν τῷ περὶ τῶν θηβαϊκῶν φησί. Τειχιάτι προλιπόντες ὑπὲρ παμμωνίδας ἔχθας ἑσσύμενοι μεγαρῆες ἐνευνάσαντο δόμοισι. ῥύπαιον δὲ, Ἀντίγονος μὲν, τῆς ἀχαΐας ὄρος φησὶν εἶναι. ἐπεὶ καὶ ῥύπαιοι οἱ ἀχαιοὶ ὠνομάσθησαν. ἔστι δὲ τῆς αἰτωλίας, ὡς Νίκανδρος περὶ τινῶν εἰς αἰτωλίαν ἐρχομένων διηγούμενός φησιν. αἰπεινήν τε κολώνην οἰωνοῦ τε ῥύπαιον ὅθι δ' αὖ λίμνην στείχοντες ἴσαν ναύπακτον. ἀμφιδύμην δ' ἐπελάζειν. τὸ δὲ ἀσέληνον, λοκρικὸν ὄρος ἐστὶ δυσχείμερον. ταῦτα οὖν πάντα ὀνόματά εἰσιν ὀρῶν τῆς εὐρώπης. πάλιν δὲ βουκάρτερος, καὶ αἰγαγέης, καὶ κέρκαφος, ὀνόματά εἰσιν ὀρῶν τῆς ἀσίας. Τῶν ἤτοι βρεχμοὶ μὲν τὸ μὲν βρέχμα, ὅ ἐστι τὸ κρανίον, πλατύ ἐστιν. ὑπὲρ δὲ τὸ ἄκρον ὁλκαῖον ἡ σπεῖρα κολοβὴν οὐρὰν ἐλίσσεται. τουτέστι τὸ τούτων μῆκος οὐκ ἔστιν ἐκτεταμένον. ἡ δὲ ὑπὲρ πρόθεσις ἀντὶ τῆς περὶ, ἵν' ᾖ, ὅτι περὶ τὸ ἄκρον σῶμα ἡ σπεῖρα κολοβὴν ἐλίσσει οὐράν. τὸ γὰρ ἐλίσσεται ἀντὶ τοῦ ἐλίσσει καὶ συνέχει. ἢ ὅτι περὶ τὸ ἄκρον ἕλκυσμα τῆς σπείρας τοῦ σώματος, κολοβὴν ἔχει τὴν οὐρὰν ἡ θήλεια.

Πᾶς δὲ τοι. εἰπὼν ὅτι ἡ θήλεια πλατὺ ἔχει τὸ βρέγμα, τὸ ἄρσεν ὀξυκέφαλον φησίν. ὁ δὲ τοῦ ἀκιδνότερος, ἀμφοτέρους συμπεριλαμβάνει. καὶ τὸν ἄρσενα καὶ τὴν θήλειαν. ὥστε

Οἷα περὶ Ζηχὺν Βουκάρτερον, ἠδ' ἐρυμνὸς
Αἰγαγέης πρηὼν καὶ Κέρκαφος ἐντὸς ἐέργει.
Τῶν, ἤτοι βρεχμοὶ μὲν ἐπὶ πλάτος, ἠδ' ὑπὲρ ἄκρον
Ὁλκαῖον σπείρης κολοβὴν ἐπελίσσεται οὐρήν,
Ἀργαλέαις φρίσσουσαν ἐπηκετανὸν φολίδεσι.
Νωθεῖ δ' ἔνθα καὶ ἔνθα διὰ δρυμὰ νίσσεται ὁλκῷ.
Πᾶς δ' ἔτι ὀξυκάρηνος ἰδεῖν ἔχις, ἄλλοτε μῆκος
Μάσσων, ἄλλοτε παῦρος. ἀκιδνότερος δ' ἦ καθ' εὖρος
Νηδύος, ἡ δὲ μύουρος ἐφολκαίη τετάνυσται,
Ἴσως μὲν πεδανὴ δολιχοῦ ὑπὸ πείρασιν ὁλκοῦ,
Ἴσως δ' ἐκ φολίδων τετριμμένη. αὐτὰρ ὁ γ' ὠπῆς
Γλήνεα φοινίσσει τεθοωμένος. ὀξὺ δὲ δικρῇ
Γλώσσῃ λιχμάζων νέατον σκολύπτεται οὐρήν.

τὰ ἄνω μὲν μείζω καὶ ἀσύμμετρα. τῆς τε θηλείας κατὰ τὸ πλατὺ, καὶ τοῦ ἄρρενος τοῦ τε μείζονος καὶ τοῦ ἥσσονος κατὰ τὸ ὀξύ. ἀπὸ δὲ τῆς κοιλίας καὶ ἡ θήλεια καὶ ὁ ἄρρην ἀκιδνότεροι, δηλαδὴ καταστρέφουσιν εἰς τὸ ἀσθενέστερον, καὶ οὐχ ὅμοιον τοῖς ἄνω μέρεσιν. ὁμοίως δὲ φολίδα μικροτέραν καὶ ἀσημοτέραν ἐπὶ βεβυκυῖαν ἔχει. ἡ δὲ ὁλκὴ μύουρος ὑποτετάνυσται, ἤγουν μύουρος οὐρὰ ἐπὶ τῇ ὁλκῇ τετάνυσται. πεδανὴ δὲ, ἡ ταπεινή. νῦν δὲ ἡ μικρὰ καὶ κατ' ὀλίγον συνεσταλμένη. ἐξ ἴσου οὖν ταπεινή φησιν ὑπὸ τοῖς πέρασιν τοῦ δολιχοῦ ὁλκοῦ. τὸ γὰρ ἴσως ἀντὶ τοῦ ὁμοίως ἔλαβεν. ὁ δὲ οὕτως. τὸ ἐπάνω τῆς οὐρᾶς πολλὰς καὶ λαμπρὰς ἔχει φολίδας. τὸ δὲ ὑπὸ κάτω τῆς οὐρᾶς, ἔχει

τετριμ

ἐκτετριμμένον, ἰσχνόν, ἢ κατεξηραμμένον, φρισσόμενον, ἢ πεπυκνωμένον. γλήνεα δὲ φοινίσσει. ἤγουν αἱματώδεις ἔχει τοὺς ὀφθαλμούς. τὸ δὲ σιθωμένος, ἀντὶ τοῦ παροξυμμένος, τεταραγμένος. Ὀξὺ δὲ δικρῆ. τῇ δικρῇ. ἤγουν δισσῇ γλώσσῃ λείχων τὴν οὐράν, κατὰ τὸ νίκανδρον

φησί. Πολλάκι μὲν χλοάουσα, ἀντὶ τοῦ χλωρά. μετοχὴ ποιητικὴ δὲ ἐκ τοῦ νουμηνίου, ὅς φησιν οὕτως· ὑπόχλωρον μὲν ἕλκος κυκλαίνει· τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν ἕλκος. Διογενιανὸς δὲ χλοάζειν, καλῶς αὔξεσθαι, καὶ βλαστάνειν. Θέων δὲ ἐν ὑπομνήματι, χλοάουσα, ἀντὶ τοῦ οἰδοῦσα. κατὰ πλέον δὲ τίθεται τὸ χλοάζειν. Αἱ δὲ θαμειναί. αἱ δὲ φλύκταιναι, ἀραιαὶ μέν, θαμιναὶ δὲ καὶ συνεχεῖς πλαδόωσιν ἐπάνω τοῦ σώματος διὰ ὑπὸ πυρὸς δαμαζομένου, ὥσπερ καὶ αἱ πομφόλυγες ἐπάνω τῶν ὑδάτων τῶν ἐν πυρὶ ζεόντων. τὰς μὲν οὖν εἶπεν, ἀντὶ τοῦ ὡς. ἀραιαὶ δέ, τουτέστιν ἀσθενεῖς καὶ κεναί. οὐδὲν γὰρ ἔχουσιν, ἀλλὰ κεναί εἰσι. Πομφόλυγες δέ, αἱ ἀναρρήξεις τῶν ὑδάτων. Πυρικμήτοιο δέ, ἀντὶ τοῦ κεκαυμένου ὑπὸ πυρός. Πλαδόωσι δὲ ἤγουν ὑγραίνονται. ἢ οἰδοῦσι, κατασπαλύνονται. πλαδόωντα γὰρ καὶ πλαδαρὸν σῶμα, τὸ ὑγρὸν φαμὲν καὶ μὴ ἀντίτυπον. ὃ δὲ λαδὸν πιλούμενον τῷ δακτύλῳ, ἐνδίδωσί τε καὶ κοιλαίνεται. πάλιν δὲ εὐθέως ἀναδίδωσι καὶ γεμίζει τὸ κοίλωμα.

Κωκυτὸν δ' ἐχιναῖον ἐπικλείουσιν ὁδῖται.
Τοῦ μὲν ὕπερ κυνόδοντε δύω χροῒ τεκμαίροντο
Ἰὸν ἐρευγόμενοι. πλέονες δέ τοι αἰὲν ἐχίδνης.
Οὔλῳ γὰρ στομίῳ ἐμφύεται. ἀμφὶ δὲ σαρκὶ
Ῥεῖά κεν εὐρυνθέντας ἐπιφράσσαιο χαλινούς.
Τοῦ καὶ ἀπὸ πληγῆς φέρεται λίπει ἴκελος ἰχὼρ,
Ἄλλοτε δ' αἱματόεις, τοτὲ δ' ἄχροος. ἡ δ' ἐπὶ οἱ σὰρξ
Πολλάκι μὲν χλοάουσα ἔπι ἀναδέδρομεν οἴδει,
Ἄλλοτε φοινίσσουσα. τότ' εἴδεται ἄντα πελιδνή,
Ἄλλοτε δ' ὑδατόεν κυέει βάρος. αἱ δὲ θαμειναὶ
Πομφόλυγες τώς, ἔν τε πυρὶ φλύκταιναι ἀραιαὶ
Οἷα πυρικμήτοιο χροὸς πλαδόωσιν ὕπερθεν.
Σηπεδόνες δέ οἱ ἀμφὶς ἐπίδρομοι, αἱ μὲν ἄπερθεν,
Αἱ δὲ κατὰ πληγὴν ἰοειδέα λοιγὸν ἱεῖσαι.

ἤγουν τὸ ἔχαλον, σκωλύπτεται, καὶ σκολιῶς κινεῖται. ὁ σκωλύπτεται, δηλαδὴ εἰλιγμένην ἔχει καὶ σκολιὰν καὶ οὐκ εὐθεῖαν τὴν οὐράν. τὸ δικρῆ οὖν, ἢ ὅτι δύο στόματα ἔχει, καὶ ἐν ἑκάστῳ γλῶσσαν. ἢ ὅτι ἐν ἑνὶ στόματι, διπλῆν ἔχει τὴν γλῶσσαν. ἢ ὅτι ἐν μιᾷ γλώσσῃ, δύο βήματα ἔχει. τὸ δὲ σκωλύπτεται, καὶ σκωλύνεται εὐρύνεται, ἵν' ᾖ βραχύνεται, ἀπλῆν. Κωκυτόν. καὶ οὗτος ὁ στίχος, ὡς ὑποβολιμαῖος ἀθετεῖται. δύο δέ φησι κυνόδοντας ἤγουν ὀδόντας ὥσπερ ὀβελοὺς ὀξεῖς τῶν ἀρρένων εἶναι. πολλοὺς δὲ τῶν θηλειῶν. εὐκόλως δὲ ἐν τῇ σαρκὶ ἴδοις ἂν εὐρυνθέντας ἤγουν χωρογραφηθέντας καὶ εὐρέας γενομένους τοὺς ὀδόντας. χαλινοὺς γὰρ ἐνταῦθα τοὺς ὀδόντας

Κίονά τε. κίονα τὸν τράχηλόν φησιν. ἐπειδὴ βάρος κίονος ὑποβαστάζει τὴν κεφαλήν. οἱ δέ, τὸν γαργαρεῶνα. οἱ δὲ τὴν λεγομένην κιονίδα, καὶ νῦν δὲ σταφυλήν. κίων δέ, διὰ τὸ κεῖσθαι ἀπὸ τοῦ κάτω μέρους τοῦ στομάχου μέχρι τοῦ ἄνω. Αἶψα δὲ γυίοις. ἀντὶ τοῦ εὐθέως τοῖς μέλεσι καὶ τῇ ἰξύϊ. ἤγουν τῇ ὀσφύϊ, ἡ ἀδρανία βαρύνουσα αὐτήν, μέμβλετ' ἤγουν φροντὶς γίνεται. τοῦτο γὰρ νῦν σημαίνει τὸ ἵζει. σχέτιον δὲ βάρος εἶπεν, ἐπειδὴ καρποῦται ὁ πληγεὶς ὑπὸ τῆς ἐχί-

δίψης. ζαλόωσα δὲ, χειμάζουσα, στρέφουσα χει-
μερινὸν, ὥσπερ κρύος ζαλόων πέριξ βέβριθεν.
ἀντὶ τοῦ ῥίγει συνέχεται χαλεπωτάτῳ ὁ δη-
χθείς. Χολόεντας. ἤγουν χολὴν ἀπήμεσε.
τὸ οὖν χολόεντας ὄγκους περίφρασίς ἐστι ἀντὶ
τῆς χολῆς ἣν ἀπήμεσε. τὸ δὲ ἀπήρυγε, τὸ ἀπήμεσε.

οὐκ ἔχει κέρατα. κολὸς οὖν, ἤδη ὁ ἀκέρατος
ἔχει ἢ ὁ τὰ μικρὰ ἐλάσσων ἐστίν. εἰσὶ δὲ κερά-
σται ἀκέρατοι, οἳ καὶ κοιλοὶ λέγονται. πισύρε-
σι δὲ, ἐπεὶ εἰσὶ καὶ τετρακέρατοι κεράσται καὶ δίκε-
ροι. Ἁμαξοτροχιῇσιν, ἀντὶ τοῦ ἁμαξοτροχιαῖς
κατὰ συγκοπήν. λέγει δὲ τὰς ἐγχαράξεις τοῦ τρο-

σημαίνει. νοτέων δὲ ἀντὶ
τοῦ ὑγραινόμενος ὁ ἱδρὼς
περὶ τοῖς μέλεσι, ψυχρό-
τερος τοῦ νιφετοῦ βολῆς
περιχεῖται. Ζοφοειδέος.
ζοφώδη ἢ σκοτώδη ἢ τὸ
ὠχρόν. ἄνθεσι δὲ χαλ-
κοῦ, ἀντὶ τοῦ χαλκάν-
θην ἣν νῦν φασι καλακάν-
θην. ἄνθος δέ ἐστι χαλ-
κοῦ τι γένος πνεόμενον, ἐν
δὶς ὁ χαλκὸς χωνευόμε-
νος καθίεται πελιδνόν τι
καὶ μᾶλλον ἔχον ἐγκιῤῥὸν
ἢ πελιδνότητα. μικρὸν
δὲ καὶ στρογγύλον καὶ παρα-
πλήσιον τῷ σπέρματι τοῦ
νάπυος. καὶ ἴσως τούτου μέ-
μνηται νῦν ὁ Νίκανδρος.
γράφεται δὲ καὶ ἄνθεσι χάλ-
κης. οὕτω καὶ παρὰ Νουμη-
νίῳ. —Ἄνθεσί γε μὲν εἶδ-
τ' ἐπ' ἰχὼρ [illegible]. ἔστι
δ' αὖ μολίβῳ ἐναλίγκι-
ον εἶδος, Ἀμφὶ [illegible]-
νει χάλκης ἴον.— ἔστι δὲ ἡ
χάλκη ἄνθος, ἀφ' οὗ καὶ
τὴν πορφύραν ὠνόμασαν.
τὸ δὲ ἐμφερὲς ὅμοιον τῷ
ἐν τῇ ἡρακλείᾳ. — φολὶς
δ' ἀπέλαμπε φαεινή,

Πᾶν δ' ἤτοι διδυμεῖα δέμας καταβόσκεται ἄτη
Ὀξεῖα πυριφλέγουσα. κατ' ἀσφάραγον δέ τε λαιμοῦ
Κίονά τε ξυνιόντες, ἐπασσύτεροι κλονέουσιν
Ἀμφὶ καὶ ἰλίγγοις δέμας ἄχθεται. αἶψα δὲ γυίοις
Ἀδρανίη βρίθουσα, ἐπ' ἰξύι μέρμερος ἵζει.
Ἐν δὲ κάρῃ σκοτόεν βάρος ἵσταται. αὐτὰρ ὁ κάμνων
Ἄλλοτε μὲν δίψῃ φάρυγα ξηραίνεται αὔων.
Πολλάκι δ' ἐξ ὀνύχων ἴσχει κρύος. ἀμφὶ δὲ γυίοις
Χειμερίη ζαλόωσα πέριξ βέβριθε χάλαζα.
Πολλάκι δ' αὖ χολόεντας ἀπήρυγε νηδύος ὄγκους
Ὠχραίνων δέμας ἀμφίς. ὁ δὲ νοτέων περὶ γυίοις
Ψυχρότερος νιφετοῖο βολῆς περιχεύεται ἱδρώς.
Χροιὴν δ' ἄλλοτε μὲν μολίβου ζοφοειδέος ἴσχει.
Ἄλλοτε δ' ἠερόεντα. τότ' ἄνθεσιν εἴσατο χαλκοῦ.
Εὖ δ' ἂν καὶ δολόεντα μάθοις ὀλοόντα κεράστην
Ἠΰτ' ἔχιν. τῶν γάρ τε δομὴν ἰνδάλλεται ἴσην.
Ἄλλοτε μὲν πισύρεσσι, τοτὲ δ' ἐν δοιοῖσι κεράσταις,
Ἤτοι ὁ μὲν κολὸς ὅ γε μὴν, ὁ δ' αὖ κεράεσσι πεποιθώς,
Χροιῇ δ' ἐν ψαφαρῇ λεπτύνεται. ἐν δ' ἀμάθοισιν
Ἢ καὶ ἁματροχιῇσι παρὰ στίβον ἐνδυκὲς αὔει.

Ἄλλοτε μὲν κυανοῦ. τότε δ' ἄνθεσιν εἴσατο
χαλκοῦ. δολόεντα δὲ εἶπε τὸν κεράστην, ἐπεὶ
ἐν τοῖς ἁμαξίαις κρύπτων ἑαυτὸν, ἀναιρεῖ τὸν πα-
ριόντα. Ἤτοι ὁ μὲν κολός ἐστι, ἀντὶ τοῦ κολοβὸς
τοῖς κέρασι. τουτέστι μὴ ἔχων κέρατα. ὁ δὲ ἔχις.

χοῦ τὰς γινομένας εἰς τὴν γῆν. ἐν αὐταῖς ὁ
κοιμᾶται ὁ κεράστης ἔχις. τὸ δὲ ἐνδυκὲς αὔει,
ἀντὶ τοῦ ἐπιμελῶς καὶ συνεχῶς κοιμᾶται ἢ δια-
γει. ἐξ ἀνάγκης δὲ χωρὶς τοῦ ι. ἔστι δὲ τὸ πλῆρες
ἰαύει. τὸ δὲ θέαι ἀντὶ [illegible] ἔχις, ἀντὶ τοῦ [illegible]

χερσαίως καὶ συντόμως τῷ κηρύγματι ἤγουν τῷ ἀποσπασμῷ τῆς γαστρός. Αὐτὰρ ὅ γε. ὁ δὲ κεράστης πλάγιος ἐπικυλίεται τῷ σώματι. τετρηχότι δὲ, ἢ δασεῖ, ἢ τραχεῖ. διὸ καὶ ἠχεῖ ἢ τρέχει, κατὰ τοῦ ἐκ δὲ τῆς τραχύτητος γίνεται τρέχει, ὥσπερ ἐκ τῶν ποδῶν ἀναισθησίᾳ. Τράμπιος ὁλ

ὁ κεράστης πλάγιος καὶ ἐπὶ πλευρὰς ἕρπει. τράμπις δὲ, κυρίως μὲν βαρβαρικὸν πλοῖόν ἐστιν. ἐνταῦθα δὲ καταχρηστικῶς τὸ ἁπλῶς πλοῖον ἐκάλεσε καὶ ἴσως τὴν τρήρη, ὅπερ ἐδήλωσε διὰ τοῦ ὁλκαίης ἤγουν μακρᾶς. καὶ ὁ Λυκόφρων δὲ τὸ πλοῖον τράμπιν ἐκάλεσε, λέγων. Τράμπις δ' ὀχήσει καὶ φέρνας λοισθίους. ὑπὸ γὰρ τοῦ Φοινίκου αἱ νῆες τῷ Ἀλεξάνδρῳ κατεσκευάσθησαν. τὸ δὲ ἀκάτῳ, ἔχει καὶ ἀκαμάτῳ, ἵν' ᾖ ἀκαμάτῳ τρήρεια καὶ ἴσως ἄμεινον οὕτως. ἐπεὶ δὲ τὸ ἄκατος πλοῖον μᾶλλον σημαίνει ἢ τρήρειαν. τὸ δὲ ἀπόκρουστος, ἤγουν πλαγιαζομένη, ἢ ἀποκρουομένη. ἢ κλυζομένη τῷ πνεύματι τοῦ λιβός. ἢ ἀπόκρουστος, ὡσανεὶ ἀποβαλοῦσα. καὶ δίον ἀποβαλλομένη καὶ ἀποπεμπομένη τῆς εὐθείας ὁδοῦ. Ἧλω ἐειδόμενον. ἧλος, σκλήρωμά ἐστι περὶ τὰ πέλματα τῶν ποδῶν γινόμενον στρογγύλον, καὶ ταῖς τῶν ἥλων κεφαλαῖς παρόμοιον. ἧλος δὲ, καὶ τὸ ἰδιωτικῶς καλούμενον καρφίον. Φλύκταιναι. αἱ φλυκτίδες περὶ τὸ δῆγμα, ἀμυδραὶ ἐπανιστᾶσι καὶ οὐκ εὐδιαγνώστοι εἰς

Τῶν, ἤτοι στείρῃσιν, ὁ μὲν, θοὸς ἀντία θύνει
Ἀτραπὸν ἰθεῖαν δολιχῷ μηρύγματι γαστρός.
Αὐτὰρ ὅ γε σκαιὸς μεσάτῳ ἐπαλίνδεται ὁλκῷ,
Οἶμον ὁδοιπλανέων σκολιὴν πετρηχότι νώτῳ,
Τράμπιος ὁλκαίης ἀκάτῳ ἴσος. ἥ τε δι' ἅλμης
Πλευρὸν ὅλον βάπτουσα κακοσταθέοντος ἀήτου,
Εἰς ἄνεμον βεβίηται ἀπόκρουστος λιβὸς οὔρῳ,
Τοῦ μὲν, ὅταν βρύξῃσιν ἀεικέλιον περὶ νύγμα
Ἥλῳ ἐειδόμενον τυλόεν πέλει. αἱ δὲ πελιδναὶ
Φλύκταιναι πέμφιξιν ἐειδόμεναι ὑετοῖο,
Δῆγμα πέριξ πλάζονται ἀμυδρόεσσαι ἐς ὠπήν,
Ἤτοι ἀφαυρότερον πελέει πόνον. ἐννέα δ' αὐγὰς
Ἠελίου μογέων ἐπιόσσεται, οἷσι κεράστης
Οὐλόμενον κακοεργὸν ἐνιχραύσῃ κυνόδοντα.
Διπλοῖς δ' ἐν βουβῶσι καὶ ἰγνύσιν ἀσκελὲς αὕτως
Μόχθος ἐνισκέπτει. πελιὸς δ' ἐπιεμφέρεται χρώς.
Τῶν δέ τε καμνόντων ὀλίγος περὶ ἅψεα θυμὸς
Λείπεται ἐκ καμάτοιο. μόλις γε μὲν ἔκφυγον αἶσαν

καίης. ἤγουν τῆς ἀποπωμένης. τραλλυσὸς δὲ ἐμφάσεως ἡ παραβολὴ γέμει καὶ σεμνότητος κατὰ τὴν συνθήκην. φησὶν οὖν τῷ βαδίσματι ὁ ἔχις ἢ ὁ κεράστης μᾶλλον, ὅμοιός ἐστι τῇ ἀκάτῳ ἤγουν τῇ τρηρείᾳ τῷ πλοίῳ τῷ μακρῷ ἢ τῶν ἑλκυόντων τὸ σύνθετος. ὡς γὰρ ἐκεῖνο τῇ βίᾳ τοῦ ἀνέμου ἐκκρούεται ἤγουν ἀποπίπτει ἔξω τῆς εὐθείας ὁδοῦ καὶ ἐπὶ πλευρὸν ἤγουν πλάγιον φέρεται, οὕτω καὶ

ἐστιν. πέμφιξι δὲ, ταῖς φύσαις, ταῖς ἐν τῷ ὕδατι πνεομέναις πομφόλυξιν. Ἤτοι ἀφαυρότερον. δηλαδὴ ἀνωμάλως ἀλγοῦσιν οἱ δηχθέντες. ἢ ἀσθενέστερον καὶ σύντονον ἐπάγει.

Ἐννέα δ' αὐγάς ἤγουν ἐννέα ἡμέρας ζῶσι μόνον οἱ δηχθέντες ὑπὸ κεράστου. τὸ δὲ οἷσιν, ἀντὶ τοῦ ὧ τινι. ἀπὸ γὰρ ἑνικοῦ μετῆλθεν εἰς πληθυντικόν, δέον εἰπεῖν ᾧ τινι κεράστης. ἀσκελὲς

δὲ, ἤγουν ἀδιαλείπτως. ἢ σκληρῶς ἢ τῶν ἐν τοῖς δύο βουνῶσι. Μόλις μέν. τὸ μόλις νοητέον, ἀντὶ τοῦ σπανίως. εὕρηται δὲ καὶ πολλοί, ἵν' ᾖ, πολλοὶ διέφυγον τὴν μοῖραν, δηλαδὴ ἔζησαν. Ὑπάρπιζον. Αἰτωλοὶ τὸν ὕπτιον καὶ λεῖον ὑπάρπιζον φασί. Τρηχὺν δὲ, οἱ μὲν αἱμασιὰν φασίν. οἱ δὲ τὸν προσάντη καὶ τραχὺν τόπον. οἱ δὲ λίθον. Μήκει μέν. τὸ μῆκος φησὶν αὐτοῦ, πηλικόν ἐστιν, ὃ δὲ ποὺς, δίμοιρον πήχεως. τὸ δὲ εὖρος φησὶ τέθρυπται ἤγουν τέθλιπται. δηλαδὴ λεπτός ἐστιν ὅλος. ὅλος γὰρ ἀπὸ τῆς κεφαλῆς μέχρις οὐρᾶς τεθρυμμένος ἢ τεθλιμμένος καὶ λεπτός ἐστι. Τυλόεις. ἀντὶ τοῦ κοχυστικός. ἤγουν πεπυρακτωμένος. διὰ τὴν τοῦ ἀλγηδόνος πύρωσιν. εἴωθε γὰρ τοῖς δηχθεῖσιν ἐπακολουθεῖν. ἢ διὰ τὸ διαπύρους ἔχειν τοὺς ὀφθαλμούς. ἢ διὰ τὸ κεκινημένον εἶναι καὶ τραχὺ τὸ δῆγμα. σημαίνει δὲ τὸ τυλόεις τρία. τὸ μέλαν. τὸ σποδοειδές. τὸ λαμπρόν. Εὐφορίων.

Η αἴτνην τυλόεσσαν ὀνωλίσιον ἀστεροπαῖον.

καὶ ἔτι.

τῇ συντάξει ὁ στίχος οὗτος μετὰ τὸν ὑπ' αὐτοῦ συμπλέκεται. καὶ ἔστιν ἡ σύνταξις οὕτως. τοῦ μὲν ὑπερνιφόεντα φάη κράατα δοιὰ μετώπῳ ἐγκέκτηται. τουτέστι τοῦτον μὲν, ὑπὲρ τὰ κρυμώδη ὄμματα. ἤγουν ὑπεράνω αὐτῶν, κέρατα δύο ἐν τῷ μετώπῳ ἐγκέκτηται. κατὰ δὲ τὰς λογάδας. ἤ-

Σῆμα δέ τοι δάκεος αἱμορρόου αὐτίκ' ἐνίψω.
Ὅς τε κατ' εἰλυθμοὺς πετρώδεας ἐνδυκὲς αὔει
Τρηχὺν ὑπάρπεζον θαλάμην ὀλιγήρεα τεύχων.
Ἔνθ' εἰλυθμὸν ἔχεσκεν, ἐπεί τ' ἐκορέσσατο φορβῆς.
Μήκει μὲν ποδὸς ἴχνος ἰσάζεται. αὐτὰρ ἐπ' εὖρος
Τέθρυπται μύουρος ἀπὸ φλογέοιο καρήνου.
Ἄλλοτε μὲν χροιῇ τυλόεις. ὁτὲ δ' ἔμπαλιν αἰθός.
Δειρὴν δ' ἐσφήκωται ἄλις. πεδανὴ δέ οἱ οὐρὴ
Ζαχρειὲς θλιφθεῖσα κατ' ὀμφάλιος τεθάνυσται.
Τοῦ μὲν ὑπερνιφόεντα κράατα δοιὰ μετώπῳ
Ἐγκέκτηται πάρνοψι φάη λογάδας τε προσεικής.
Σμερδαλέον δ' ἐπί οἱ λαμυρὸν πέφρικε κάρηνον.
Δοχμὰ δ' ὑποσκάζων ὀλίγον δέμας οἷα κεράστης,
Μέσσου ὅ γ' ἐκ νώτου βαιὸν πλόον αἰὲν ὀκέλλει.
Γαίῃ ὑποθλίβων νηδύν. φολίσιν δὲ τετοίμῳ
Παῦρον ὑπὸ τρόφεων, καλάμης χυσίμοια διέρπει.

Ἀχλύντι τυλόεσσαν ἀδηνήντά τε καπνόν.

καὶ Αἰσχύλος ἐν Βασσαρίσι.

Κάρφει παλαιῷ κἀπιβωμίῳ τυλῷ.

Πεδανή. πεδανὴ δὲ λέγεται, ἡ λεπτὴ οὐρὰ καὶ συνεσταλμένη. αἰθὸς δὲ, ἤγουν κεχρωσμένος, ἢ σποδώδης, ἢ διάπυρος, ἢ αἰθαλώδης. καὶ τὸ ἐσφήκωται, ἀντὶ τοῦ συνέσταλται, πέπλεκται. κατ' ὀμφάλιος δὲ, ἤγουν ἀπὸ τοῦ ὀμφαλοῦ λίαν στενή ἐστιν ἡ οὐρά.

Ὑπερνιφόεντα. τοῦτο γὰρ τύχει φωνήεντα. ἐν δὲ γουν τὰ λευκὰ τῶν ὀφθαλμῶν, προσεικὴς ὅμοιός ἐστι ταῖς πάρνοψιν. ἤγουν ταῖς ἀκρίσιν. ἢ ταῖς ἀγρίαις μελίσσαις. νιφόεντα δὲ τὰ ψυχρὰ λέγει. κοινῶς δὲ πάντα τὰ ἑρπετὰ ψυχρά. λαμυρὸν δὲ ἤγουν λαῦρον. ἢ τραχὺ ὄντα ἢ εὐκίνητον. Δοχμὰ δ' ὑποσκάζων. ἤγουν πλάγιος πορεύεται προσβάλλων τὴν κοιλίαν. καὶ ταῖς φολίσιν ὑποθλίβων τὴν γῆν. Βαιὸν δὲ πλόον, νῦν τὴν ὁδὸν τὴν πεζήν. τὴν πορείαν. οὕτω γὰρ καὶ Ἀντίμαχος εἶπε.

Τοῖσι δ' ἀνυλήεντα διὰ πλόον ἐρχομένοισι.

ὡς δὲ

ἃς δὲ καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ, γυναῖκα πρ' ὄσας τὰς ζεύγους ὄνων ὀχουμένην, περιέχει τι τὰ ἐρῶντα αὐτῆς. ἣ καὶ ἐρεθίζουσα φησὶ πρὸς αὐτόν· ἀπόπληκτε σὺ τὸν τὸν νυμφίον, ὃν γαμοῦμαι σήμερον. φολίσι δὲ καί, οἶμαι, τῇ βαλίσει τοῦ σώματος. γράφεται καὶ ὁλκῷ, ἵν' ᾖ τῷ σώματι.

τὸ πίδαξ ἡ πηγή. πεφορυγμένον δέ, ἤγουν μεμολυσμένον, ὅ ἐστιν ἀναμεμιγμένον καὶ συγκεκραμένον τῷ χολώδει ἰῷ. Αἱ δ' ὑπὸ γυίοις. αἱ δὲ ὑπὸ τοῖς μέλεσιν ὠτειλαί, ῥήγνυνται. ἔφθη εἰπών, ὅτι ὅλον τὸ σῶμα πελιδνοῦται ἤγουν ὠτειλῶν πληροῦται. ὠτειλαὶ δέ, αἱ πληγαί εἰσι. καὶ Ἀπολλώνιος δέ φησι τὸν πληγέντα ὑπὸ τῆς αἱμορροΐδος ῥήγνυσθαι τὰς ὠτειλάς. Πίμπραται. τουτέστιν ὑπερκαίεται, καὶ πυροῦται τὰ οὖλα, ὡς ὑπὸ πεπέρεως ἢ σινάπεως, ἤγουν πυρακτοῦνται καὶ ἀναβράζουσιν. ἀσταγὲς δέ. ἤτοι ἄστακτον ἢ μὴ στάζον, ἀλλὰ κρουνηδὸν φερόμενον, οἱονεὶ πολυσταγές. μυδῶντες δέ, ἤτοι δυσώδεις, δίυγροι τῇ σήψει τῶν οὔλων καὶ τοῦ σώματος. ὄζοντες καὶ δυσωδίαν πνέοντες. Εἴ γ' ἔτυμον. τὸ ἑξῆς, τὸ δ' Ἑλένη μέσον ὁλκὸν ἀνέκλασεν. εἶτα, εἴ γ' ἔτυμον Τροίηθεν ἰοῦσα. ἱστέον δὲ ὅτι ἀπὸ Τροίας ὑποστρέφων ὁ Μενέλαος σὺν τῇ Ἑλένῃ, ἐπλανήθη, καὶ ἦλθεν εἰς Αἴγυπτον. ὁ γοῦν κυβερνήτης αὐτοῦ Κάνωβος διελθὼν κοιμηθῆναι ἐν τῷ αἰγιαλῷ, ἄκων ἐπιπέπτωκεν αἱμορροΐδι, ἥτις θλιφθεῖσα ὑπ' αὐτοῦ τὸν αὐχένα, καὶ ὀδυνηθεῖσα, ἐξελθοῦσα, ἔδακεν αὐτόν. θνήσκοντα οὖν ὑπ' αὐτῆς τὸν κυβερνήτην θεωρήσασα ἡ Ἑλένη, καὶ ὀργισθεῖσα τῇ αἱμορροΐδι, ἔκλασε τὴν ἄκανθαν αὐτῆς. καὶ διέβαλε διὰ τῆς ῥάχεως αὐτῆς σπονδύλους. καὶ ἐκ τότε αἱ αἱμορροΐδες καὶ οἱ σκολιοὶ καὶ οἱ πλάγιοι κατὰ τὴν πορείαν κεράσται, κεκλασμ-

Νύγματι δ' ἀρχομένῳ μέν, ἐπὶ ζέχει ἄχροον εἶδος
Κυάνεον. κραδίην δὲ κακὸν περιτέτροφεν ἄλγος.
Γαστὴρ δ' ὑδατόεσσα διέσσυτο. νυκτὶ δὲ πρώτῃ,
Αἷμα δ' ἐκ ῥινῶν τε καὶ αὐχένος ἠδὲ δι' ὤτων,
Πιδύεται χολόεντι νέον πεφορυγμένον ἰῷ.
Οὖρα δὲ φοινίσσοντα κατέδραμεν, αἱ δ' ὑπὸ γυίοις
Ὠτειλαὶ ῥήγνυνται, ἐπειγόμεναι χροὸς ἄζῃ.
Μή ποτέ τοι θήλεια αἱμορροῒς ἰὸν ἐνείῃ.
Τῆς γὰρ ὀδαξαμένης, τὰ μὲν ἀθρόα πίμπραται οὖλα·
Ῥιζόθεν ἐξ ὀνύχων δὲ κατείβεται ἀσταγὲς αἷμα.
Οἱ δέ, φόνῳ μυδόωντες ἀναπρείουσιν ὀδόντες.
Εἴ γ' ἔτυμον, Τροίηθεν ἰοῦσ' ἐχαλέψατο φύλοις
Αἰν' Ἑλένη, ὅτε νῆα πολύστροιβον περὶ Νεῖλον,
Ἔστησαν, βορέαο κακὴν προφυγόντες ὁμοκλήν,
Ἦμος ἀναψύχοντα κυβερνητῆρα Κάνωβον
Θώνιος ἐν ψαμάθοισιν ἀθρήσατο. τύψε γὰρ αὐτὸν
Αὐχέν' ἀποθλιβεῖσα, καὶ ἐν βαρὺν ἤρυγεν ἰὸν
Αἱμορροῒς θήλεια. κακὸν δέ οἱ ἔχραεν οἶτον.

Ὑποψοφέων. μεταφορικῶς ἠρέμα ἕρπει προσπταίων. τουτέστι ψοφεῖται τῇ φολίδι ἢ γαστρί. καὶ τῶν σύρων προσβίζεται τῇ γῇ καὶ ὑποψοφεῖ, διὰ χύσιν καλάμης δίκην, τουτέστιν ὡς εἰς καλάμους βαδίζων. Γαστὴρ δ' ὑδατόεσσα. ἀντὶ τοῦ πολλὰ ὕδατα πίνει ὁ δηχθείς. ὁ δὲ ὑδαρώδης αὐτοῦ γαστήρ, σκιρροῦται καὶ πιδᾷ. τὸ δέ πιδύεται· κυρίως δὲ τὸ πίνειν, ἐξ οὗ καὶ

ποιεῖσθαι τὰς ῥάχας. καὶ ἡ μὲν ἱστορία οὕτως. Τὸ δὲ ἰχαλίψασα, ἀντὶ τοῦ ὀργισθεῖσα τὴν αἱμορροΐδων γένος. πολύστροβον. τουτέστι πολλὰς ἰλυσπάσεις ἔχοντα. καὶ ἀπερισπαστον καὶ ἀπλήρωτα καὶ πολλὰ ῥεύματα. καὶ γὰρ ἡ τῶν ὑδάτων στροφὴ στρόβος λέγεται. Θῶνος βασιλεὺς Αἰγύπτου γέγονεν. ἀπὸ τούτου οὖν Θώνιον τὴν αἱμορροΐδα ἔφη, διὰ τὸ ἐν Αἰγύπτῳ εἶναι. Ὁλκόν, ἤγουν τὸ σῶμα. ἀκάνθου δὲ δεσμά, ἤγουν αὐτὴν τῆς αἱμορροΐδος τὴν ἄκανθαν, δηλαδὴ τὸ λεγόμενον κοινῶς κέντρον, ἔκλασεν ἡ Ἑλένη, χαλεπήνασα τοῖς ἑρπετοῖς, διὰ τὸ τὸν κυβερνήτην, καθὼς εἴρηται, ἀπολωλέναι. τὸ δὲ ῥάχις ἐξέδραμε γυίων, ἀντὶ τοῦ ἐξῆλθον οἱ σφόνδυλοι τῆς ῥάχεως. Σημείωσαι δὲ ὅτι ἀπὸ τοῦ θηλυκοῦ τῆς αἱμορροΐδος εἰς ἀρσενικὸν ἀνήνεγκε τὸν λόγον.

Ἀλλ' ὁ μὲν εἴδει. καὶ γὰρ τῇ μὲν ὄψει τῷ αἱμορρόῳ ὁμοία ἐστί· τῇ δὲ πορείᾳ διαλλάττει. παρὰ τὸ ἐναντίον τοῦ αἱμορρόου πορεύεται. καὶ οὐ σκολιῶς, καθάπερ ἐκεῖνός τε καὶ οἱ κεράσται. σηπεδὼν δὲ εἴρηται, ὅτι σήπει τῶν δακέντων τὰ σώματα. Ἔμπλην ἄμμορον. παρὰ Ἀρχιλόχῳ, ἔμπλην ἀντὶ τοῦ χωρίς. οἷον ἔμπλην ἐμοῦ τε καὶ ἐφέλου. παρὰ δὲ τῷ ποιητῇ, ἀντὶ τοῦ πλησίον. Βοιωτῶν ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο. ἐνταῦθα δὲ ἀντὶ τοῦ χωρὶς τακτέον. οὐ γὰρ τῷ ἐναντίως πορεύεσθαι διαλλάττει ἐκείνου μόνον, ἀλλὰ καὶ τῷ κέρατα μὴ ἔχειν τῶν προειρημένων ἐχόντων. τὸ οὖν δέμας αὐτοῦ φησιν ἄμοιρον τῶν κεράτων ἐστίν. ἐκ παραλλήλου δὲ λαμβάνεται, τό, τε ἔμπλην καὶ τὸ ἄμμορον. Ἡ δέ νυ χροιή. τὸ δὲ χρῶμα αὐτοῦ τοιοῦτόν ἐστιν, οἷόν περ τῆς λασίας δάπιδος. δάπις μὲν οὖν ἐστιν, ὃ καὶ τάπις λέγεται. λασίας δέ, εἰς ἐν δασείας, πρὸς ἀντιδιαστολὴν τῶν ψιλῶν. εἰσὶ γὰρ καὶ ψιλαὶ δάπιδες. ἀσαφῶς δὲ τὰ περὶ τοῦ χρώματος τῆς σηπεδόνος εἴρηται. μὴ γὰρ ὡρισμένου τοῦ χρώματος τῆς δάπιδος, ἐστιν ὅτι ἐστί, φασὶ τὴν σηπεδόνα ὁμοίαν εἶναι τὴν χροιὰν τῷ χρώματι τῆς δάπιδος, εἰ μὴ ἄρα ὡς ἐπὶ τὸ πλεῖστον αἱ δάπιδες κόκκιναι γίνονται, καὶ βούλεται δηλοῦν νῦν τὸ χρῶμα τῆς σηπεδόνος κόκκινον εἶναι. Σκολιὴν γάρ. τὸ ἄκρον δέ φησι τῆς οὐρᾶς σκολιόν τι ἀνατείνεται ὥστε συγκαλύπτεσθαι τὸ μῆκος αὐτῆς, καὶ μακρὰν οὖσαν, ἐλάχισταν ἤγουν μικρὰν φαίνεσθαι. Ὡς γήρεια. γήρεια λέγεται ἡ τῶν κινάρων ἐξάνθησις. ἀκανθώδεις δέ εἰσι. τῶν οὖν δηχθέντων φησὶν ὑπὸ σηπεδόνος αἱ τρίχες ἀπορρέουσι καὶ ἐκπίπτουσιν ἴσα κινάρων ἀκάνθαις καὶ ἐξανθήσεσι. τὸ δὲ καταψυχθέντος, ἀντὶ τοῦ καταψυχθείσης καὶ ἀποπαγείσης.

Τὴν δ' Ἑλένη μέσον ὁλκὸν ἀνέκλασε, θραῦσε δ' ἀκάνθης
Δεσμὰ περὶ ξ' ἰνωταῖα, ῥάχις δ' ἐξέδραμε γυίων. (θῖν'
Ἔξοθεν αἱμορρόοι σκολιοπλανέες τε κεράσται
Οἷοι χωλεύουσι, κακῇ πελίῃ βρίθοντες.
Εὖ δ' ἂν σηπεδόνος γνοίης δέμας. ἀλλ' ὁ μὲν εἴδει
Αἱμορρόῳ σύμμορφος, ἀτὰρ στίβον ἀντίον ἕλκει,
Καὶ κεράων δέμας ἔμπλην ἄμμορον. ἡ δέ νυ χροιὴ
Οἵη περ δάπιδος λασίης περιδέδρομε τέρφει.
Κρᾶτα δ' ἐμβριθής. ἐλάχεια δὲ φαίνεται οὐρὴ
Ἐσσυμένη. σκολιὴν μὲν ὁμῶς ἐπιτείνεται ἄγρην.
Τῆς δ' ἤτοι ὀλοὸν μὲν ἐπὰν ..., ἔπλετο ἕλκος
Σηπεδόνος. νέμεται μέγας ἠδ' ὀλοφώϊος ἰὸς
Πᾶν δέμας. ἀναλέη δὲ περὶ χροῒ καρφομένη θρίξ,
Σκίδναται ὡς γήρεια καταψυχθέντος ἀκάνθης.

κέχρηται

μιχρυνται δὲ τούτῳ τῷ χρώματι πολλάκις. Θεόφραστος δὲ ἀρσενικῶς εἶπε τὸν ἄχαρνον. ἀλφοὶ δὲ καὶ λεῦκαι καὶ ἔφηλις, εἴδη εἰσὶ νόσων. ἡ μὲν οὖν ἔφηλίς ἐστι, ὁ ἐπὶ τοῦ σώματος πνέμενος σπίλος. ὡσαύτως δὲ καὶ αἱ λεῦκαι καὶ οἱ ἀλφοί ἢ οὕτως, αἱ μὲν λεῦκαι καὶ οἱ ἀλφοὶ προπα-

Ἐκ μέν οἱ κεφαλῆς τε καὶ ὀφρύος ἄνδιχα τυπέντι
Ῥαίνονται. βλεφάρων δὲ μέλαιν' ὑπερέφθιτο λάχνη.
Ἄψεα δὲ τροχόωντα, περιστίζουσι μὲν ἀλφοί.
Λεῦκαι τ' ἀργινόεσσαι ἐπ' ἀγρεύονται ἔφηλιν.
Ναὶ μὴν διψάδος εἶδος ὁμώσεται αἰὲν ἐχίδνῃ
Παυροτέρῃ. θανάτου δὲ θοώτερος ἵξεται αἶσα.
Οἷσιν ἐνισκίμψῃ βλοσυρὸν δάκος. ἤτοι ἀραιὴ
Αἰὲν ὑποζοφόωσα μελαίνεται ἀκρόθεν οὐρή. (καύσῳ
Δήγματι δ' ἐμφλέγεται κραδίη πρόπαν, ἀμφὶ δὲ
Χείλε' ὑπ' ἀζαλέης ἀζαίνεται ἄβροχα δίψης.
Αὐτὰρ ὅ γ' ἠΰτε ταῦρος ὑπὲρ ποταμοῖο νενευκὼς
Χανδὸν, ἀμέτρητον δέχεται ποτὸν, εἰσόκε νηδὺς
Ὀμφαλὸν ἐκρήξειε. χέῃ δ' ὑπεραχθέα φόρτον.

ρασκευάζουσι τὸ πάθος· ὁ δὲ ἔφηλις, αὐτὴ ἡ ἐτιρίωσις τῆς ἐπιφανείας ἐστίν. ἔοικε δὲ ταύτῃ καὶ Νίκανδρος ἐνταῦθα νοεῖν.
Ναὶ μὴν διψάδος. εἶδός τι καὶ τὴν διψάδα φασὶν ὄφεων, ἣν καὶ κεντρίναν καλοῦσιν, ἐπεὶ εἰς ὀξὺ τὴν ὄψιν ἀπὸ ὀλίγου μέρους ἔχει κατηγμένην, ὡς δοκεῖν κέντρον εἶναι. ἔχει δὲ πλατὺν τὸν τράχηλον καὶ πλατεῖαν τὴν κεφαλήν. καὶ τὴν οὐρὰν κατὰ κόρως μέλαιναν. Οἷσιν ἐνισκίμψῃ. γράφεται καὶ ἐνιχρίμψῃ. ἤγουν ἐμπέσῃ ἢ ἐπιβάλῃ. Βλοσυρὸν δὲ τὸ καταπληκτικὸν θηρίον. Ἀμφὶ δὲ καύσῳ. γράφεται καὶ κάσῳ. φησὶν οὖν ὅτι εἰώθεν ἐπακολουθεῖν τοῖς ὑπὸ διψάδος πληγεῖσιν, ἤγουν δηχθεῖσιν, καύσων. ὥστε χανδὸν, ἀντὶ τοῦ πολὺ καὶ ἀθρόον, ἢ κεχηνότως, ἀπὸ τοῦ ποταμοῦ πίνει ὕδωρ. καὶ ὁ ποιητής. — Ὃς ἄν μιν χανδὸν ἕλῃ αἴσιμα πίνῃ. πολλοὺς δὲ ἐμφατικῶς καὶ σεμνότητος γέμει ὁ λόγος. φησὶ δὲ, ὅτι πληγείς τις καὶ δηχθεὶς ὑπὸ τῆς διψάδος, ἴσα ταύρῳ διψῶντι καὶ ἀθρόως ἐπὶ τῷ ποταμῷ φοιτῶντι, μέχρι ἐπὶ τὸ ὕδωρ, καὶ τοῦτο πίνει, ἕως ἂν διαρραγείη τὴν γαστέρα, ὑπὲρ μέτρον πιών.

Ὠγύγιος. Βούλεται ἀπὸ μύθου δεῖξαι, εἶναι ἀργὰς τὰς διψάδας ἐν πορείᾳ, καί φησιν. οἱ ἄνθρωποι ποτὲ παρεκάλεσαν τοὺς θεοὺς δοῦναι αὐτοῖς νεότητα πρὸς τὸ μηδέποτε γηρᾶν αὐτούς. λαβόντες οὖν, ἐπέθηκαν ὄνῳ βαστάζειν. ὁ δὲ δίψει συνεχόμενος, ἦλθεν εἰς τινα τόπον ὕδωρ ἔχοντα, ἐν ᾧ ὄφις ὑπῆρχε φυλάττων. καὶ δή φησι βουλόμενον πιεῖν τὸν ὄνον, ὁ ὄφις ἐκώλυσε, φήσας, ὅτι ἂν δῷς μοι ὃ βαστάζεις, πιεῖν συγχωρήσω. ὁ δὲ ὄνος ὑπὸ τῆς δίψης συνεχόμενος, δέδωκεν ἀντὶ τοῦ ὃ ἐβάσταζε, τουτέστι τὴν νεότητα. ἀφ' οὗ χρόνου, οἱ μὲν ὄφεις ἀποβάλλουσι τὸ γῆρας. οἱ δὲ ἄνθρωποι ὑπὸ τοῦ γήρως καταπονοῦνται. ὁ οὖν ὄφις δεξάμενος ἀπὸ τοῦ ὄνου τὸ δῶρον τοῦ θεοῦ, ἀργότερος ὑπάρχει πρὸς τὴν πορείαν, καὶ τὸ δῆγμα. ἀνέλαβε δὲ καὶ τὴν τοῦ ὄνου δίψαν. ὅθεν καὶ τοῖς δακνομένοις ὑπ' αὐτοῦ, δίψαν ἐμποιεῖ. Ἄλλοι δὲ οὕτω τὸν μῦθον φασίν. Προμηθέα τὸ πῦρ κλέψαντα, καὶ τοῖς ἀνθρώποις δωρησάμενον, οἱ λαβόντες ἐμήνυσαν, οὐ καλὴν τῆς χάριτος τίνοντες ἀμοιβήν. ἐφ' οἷς τὸν Δία φασὶν ἐπαινέσαντα, φάρμακον αὐτοῖς ἀγηρασίας δοῦναι. τοὺς δὲ λαβόντας ἀποφέρειν τὸ δωρεὰν ἐπὶ ὄνου. τὸν

δὲ

δὲ διψῇ τρεφόμενον ἐλθεῖν εἰς κρήνην, ἣν ἐφύλασσεν ὁ ὄφις. καὶ τὸ πρῶτον ὀρεγόμενος, ἀπέδοτο τὸ τοῦ γήρως τὸ φάρμακον. διὸ πάντας μὲν τοὺς ὄφεις καθ' ἕκαστον νεάζειν ἐνιαυτὸν, ἀποδυομένους τὸ γῆρας. τὸν δὲ ὄφιν τῆς κρήνης φύλακα καταλαβεῖν τὸ δίψος. ὅθεν τοῖς δηχθεῖσιν ἐμπρηθεῖ δίψαν. ἔστι δὲ ὁ μῦθος παρὰ Σοφοκλεῖ ἐν κωφοῖς. Ὠγύγιος δὲ, ἀπὸ Ὠγύγου τινὸς, ὅς ἐστιν ἀρχαῖος καὶ παλαιός. ἔνιπτον δὲ, ἀντὶ τοῦ διέβαλλον. ἐλοιδοροῦντο γὰρ Προμηθεῖ, ὅτι μὴ ἀεὶ αὐτοὺς νέους ἐποίησεν.

Ἄφρονες οἱ ἄνθρωποι ὀκνηροὶ ὄντες, ὄνῳ τὰ ἀναγκαιότατα ἐπέθηκαν. ἐβλάβησαν δὲ ὑπὸ τῆς ἀβουλίας. κακοφραδίας δὲ ἡ ἀβουλία. τὸ δὲ οὐκ ἀπόναντο, τουτέστι γὰρ ἐβλάβησαν. τὸ ἀμορβεύοντο δὲ, ἀντὶ τοῦ διηκονίζοντο, φέροντες ἐπὶ ὄνῳ, διὰ τὸ ὀκνηρὸν αὐτῶν. ἀμορβεύειν γὰρ, τὸ ἀκολουθεῖν καὶ ὑπηρετεῖν. Νίκανδρος ἐν ἑτέροις.

Βουκαῖοι σὺν γέεσσιν ἀμορβεύουσιν ἐρίων.

καὶ Καλλίμαχος.

Οὕνεκ' οὐλυβίδι πέμπον ἀμορβούς.

Ὠγύγιος δ' ἄρα μῦθος ἐν αἰζηοῖσι φορεῖται,
Ὡς ὁπότ' οὐρανὸν ἔσχε Κρόνου πρεσβύτατος υἱός.
Νειμάμενος κασίεσιν ἑκὰς περικυδέας ἀρχὰς
Ἰδμοσύνῃ, νεότητα γέρας πόρεν ἡμερίοισι,
Κυδαίνων. δὴ γάρ ῥα πυρὸς ληΐστορ' ἔνιπτον
Ἄφρονες, οὐ μὲν τῆς γε κακοφραδίης ἀπόναντο.
Νωθεῖ γὰρ κάμνοντες ἀμορβεύοντο λεπάργῳ
Δῶρα. πολύσκαρθμος δὲ κεκαυμένος αὐχένα δίψῃ
Ῥώετο. γωλειοῖσι δ' ἰδὼν ὁλκήρεα θῆρα,
Οὐλοὸν, ἐλλιτάνευε κακῇ ἐπαλαλκέμεν ἄτῃ
Σαίνων. αὐτὰρ ὁ βρῖθος ὃ δή ῥ' ἀνεδέξατο νώτοις
Ἤτεεν ἄφρονα δῶρον. ὁ δ' οὐκ ἀπανήνατο χρειώ.
Ἐξότε γηραλέον μὲν ἀεὶ φλόον ἑρπετὰ βάλλει
Ὁλκήρη. θνητοὺς δὲ κακὸν περὶ γῆρας ὀπάζει.
Νοῦσον δ' ἀργαλέην βρωμήτορος οὐλομένη θὴρ
Δέξατο. καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει.
Νῦν δ' ἄγε χερσύδροιο καὶ ἀσπίδος ἔκφρεο μορφὰς
Ἰσαίας. πληγῇ δὲ κακήθεα σήματα ὁμαρτεῖ.

Λιπάργῳ δὲ γὰρ ὄνῳ φασί. παρὰ τὸ τὴν λαγόνα ἔχειν λευκήν. γὰρ οὖν νωθεῖ λιπάργῳ, ἤγουν ὄνῳ ἠμόρβευον ἤγουν ὑπηρετοῦντο ὑπ' αὐτοῦ.

Ἤτεεν ἄφρονα. τὸν ὄνον φησὶ, διὰ τὴν τοιαύτην προπέτειαν. δῶρον δὲ τὴν νεότητα, ἣν ἐπ' ὤμῳ ἔφερεν, μὴ δυνάμενοι αὐτοὶ βαστάσαι διὰ τὸ ὀκνηρόν. γηραιὸν δὲ φλόον, τὸ σῦφαρ λέγει. διὰ δὲ τὸν προειρημένον λόγον, τὰ μὲν ἑρπετὰ τὸ γῆρας ἀποβάλλει, καὶ ἀεὶ χλοὸν ἐν νεότητι διατελεῖ. οἱ δὲ ἄνθρωποι γηροῦντες φθείρονται. Νοῦσον δ' ἀργαλέην, τὴν δίψαν φησὶν, ἢ τὸ νωθὲς καὶ βραδὺ τοῦ ὄνου τοῦ βρωμήτορος, ἤγουν τοῦ ὀγκαστικοῦ, παρὰ τὸ βρωμᾶσθαι.

Νῦν δ' ἄγε χερσύδροιο. ὁ χέρσυδρος, ὕδρος πρότερον ἐκαλεῖτο. ὕστερον δὲ χέρσυδρος, διὰ τὸ ἐν ὕδατι καὶ ἐν χέρσῳ διατρίβειν. ἰσαίας δὲ τὰς ὁμοίας. καὶ ὅτι κατὰ μέγεθος ἴσοι εἰσίν. ὅ,τε χέρσυδρος καὶ ἡ ἀσπίς. Σήματα θ' ὁμαρτεῖ. σημεῖά φησι χαλεπὰ τοῖς δηχθεῖσιν ἀκολουθεῖ, ἃ περὶ ἐν τοῖς ἑξῆς καταλέγει, πᾶσαν

γὰρ

γάρ φησιν ἡ περὶ τὴν ῥῖνα σάρξ, τουτέστιν ἡ δορά, μυσαχθὴς ἤγουν δυσώδης ἀναδιδομένη. καὶ ἡ ἁπλωμένη. τοῦτο δὲ τὸ πιτναμένη. Μυδόεν τεκμαίρεται, ἤγουν παρέχει τεκμαίρεσθαι. Νύγμα. γράφεται δὲ καὶ δῆγμα. δηλαδὴ δίυγρον ἐποίησε τὸ δῆγμα καὶ σηπτόν. μυσαχθὴς

ἐν δὲ τῷ, τρύγη δ' ἐνὶ πυθμένι, λείπει τὸ μίμνῃ, ἵν' ᾖ, ὅταν ἡ τρύγη μίμνῃ ἐν τῷ πυθμένι τῆς λίμνης. καὶ γίνεται ἀπὸ τοῦ τρυγῶ τοῦτο, τουτέστιν ἡ ξηρασία τῆς λίμνης. τὸ δὲ ποιφύγδην, ἀντὶ τοῦ φυσητικῶς καὶ μεθ' ὁρμῆς ἐκφοβῶν. ὅτε δὲ καὶ τῇ χέρσῳ προσβάλλει ὁ χέρσυδρος. ἔχουσι δὲ

Πᾶσα δ' αὐαλέη ῥινὸς περὶ σάρκα μυσαχθής.
Νειόθι πιτναμένη, μυδόεν τεκμήρατο νύγμα.
Σκηπεδόσι φλιδόωσα. τὰ δ' ἄλγεα φῶτα δαμάζει
Μυρία πυρπλέοντα. θοῶς δ' ἐπὶ γυῖα χέονται
Πεμφίγες, ἄλλοθεν ἄλλαι ἐπημοιβοὶ κλονέουσαι.
Ὅς δή τοι τὸ πρὶν μὲν ἐπὶ βροχθώδεϊ λίμνῃ,
Ἄσπειστον βατράχοισι φέρει κότον. ἀλλ' ὅταν ὕδωρ
Σείριος ἀζήνησι, τρύγη δ' ἐνὶ πυθμένι λίμνης,
Καὶ τόθ' ὅ γ' ἐν χέρσῳ τελέθει ψαφαρός τε καὶ ἄχρους,
Θάλπων ἠελίῳ βλοσυρὸν δέμας. ἐν δὲ κελεύθοις
Γλώσσῃ ποιφύγδην νέμεται διψήρεας ὄγμους.
Τὴν δὲ μετ' ἀμφίσβαιναν ὀλίζονα καὶ μινύθουσαν
Δήεις ἀμφικάρηνον, ἀεὶ γλήναισιν ἀμυδρήν.
Ἀμβλὺ γὰρ ἀμφοτέρωθεν ἀμφιπρονένευκε γένειον
Νόσφιν ἀπ' ἀλλήλων, χροιή γε μὲν ἠύτε γαίης,
Ῥωμαλέον φορέουσα περιστιγὲς αἰόλον ἔρφος.

δύο γλώττας οἱ χέρσυδροι. ὁ δὲ Ἀριστοτέλης διχρόους εἶναι φησὶν αὐτούς. ὄγμους δὲ ἤγουν ὁδούς. ἢ τὰς ἐγχαράξεις τῆς γῆς. Τὴν δὲ μετ' ἀμφίσβαιναν. ἡ ἀμφίσβαινα, ὄφις ἐστὶ μικρὰ καὶ νωχελής, δύο ἑκατέρου μέρους ἔχουσα κεφαλάς. ἀμβλυωποῦσα δὲ διὰ τὴν παχύτητα τῆς γένυς. κατὰ δὲ τὰς χροιὰς γεώδης ἐστὶ, μικραῖς πεποικιλμένη στιγμαῖς. ταύτην δὲ τὴν ὄφιν οἱ περιτυχόντες ὑλοτόμοι, ἐὰν κτείνωσι, τὴν δορὰν περιτιθέντες βακτηρίᾳ, ξηραίνουσι. καὶ πρός γε τὰ κρύη καὶ τὰς νάρκας ἔχει βοήθημα. ἀμφικάρηνον δέ, τὴν ἀμφοτέρωθεν κεφαλὰς ἔχουσαν. καὶ ὀλίζονα,

οὖν, ἤτοι δυσαχθὴς, μυσαρὰ, ἢ καὶ δυσώδης. πιτναμένη δέ, ἀντὶ τοῦ ἐκτεινομένη, ἢ διαπλωμένη. Φλιδόωσα δέ, διαρρωγυῖα. νειόθι δέ, ἀντὶ τοῦ κάτωθεν. ἀπὸ τῶν ἐνδοτέρω μερῶν. ἐκ δὲ τούτων ἀλγηδόνες πολλαὶ τοῖς ἀνθρώποις ἐγίνοντο. Βροχθώδεϊ δέ, ἤγουν ἀνύδρῳ, ἢ ξηρᾷ, ἢ κοίλῃ, ἢ ὀλίγον ὕδωρ ἐχούσῃ. ὅθεν καὶ βρόχθος τὸ ὀλίγον πόμα. Ἄσπειστον. ἄσπειστον τὸ χαλεπὸν καὶ ἄσπονδον, καὶ ἄστοργον. παρὰ τὸ μὴ σπείσασθαι φιλίαν πρὸς ἀλλήλους. Σείριος δὲ ὁ ἥλιος. ἀζήνησι δέ, ἤγουν ξηραίνῃ.

ἀντὶ τοῦ μικροφυῆ. μικράν. βραδεῖαν. ἀμβλὺ δέ, οὐ τὸ ἐναντίον τῷ ὀξεῖ νῦν, ἀλλ' ἴδιον τρωγλοδύτις. καὶ ἀμβλυωπητικόν. ἀμβλυωπεῖ δὲ διὰ ἑκατέρας κεφαλῆς. γένειον δέ, ἀντὶ τῆς γένυος. ὠσιαγών. τὸ δέ, χροιὴ ἠύτε γαίης. ἀντὶ τοῦ γεώδης ἐστὶ τὸ χρῶμα. Περιστιγὲς, ἐὰν μὲν ἔχῃ οὕτω περιστιγὲς, σημαίνοι ἂν τὸ ποικίλον. ἐὰν δέ, ὡς ἔνιοι γράφουσι, περιστιβὲς, εἴη ἂν ἀντὶ τοῦ πεπιλημένον, πεπατημένον. ἀπὸ τούτου καὶ στιβὺς ὁ κναφεὺς καλεῖται. διὰ δὲ τοῦ πεπιλημένον, δηλοῦται τὸ στερεὸν τῆς θηρός.

Βατῆρα δὲ τὴν βακτηρίαν, κατ' ἀφαίρεσιν τοῦ κ. ὁμοίως καὶ ἐν Εὐμενίσιν Αἰσχύλου, ἐν τῷ ὑπογραφομένῳ ὕπνῳ· Φύγω μὲν ἐκ προσώπου, μὴ σ' ἐμπεσὼν πρέσβυς οὐλῇ κατ' εὐθὺ βατηρίῃ καλύψῃ. ἡ δὲ σύνταξις οὕτως· κόψαντες ῥάδικα πολυστεφοῦς κοτίνου, διά τινα βακτηρίαν ἤγουν τὸ ξύλον τὸ ῥάδικα εἶναι. ὅθεν βακτηρίαν, ἐξύρανταν τὸ δέρμα αὐτοῦ. φασὶ δέ τινες βατῆρα εἶναι τὴν ποιμενικὴν ῥάβδον. μεθ' ἧς βόσκουσι. Δημήτριος δὲ ὁ χλωρὸς βατῆρα αὐτὴν φασὶ καὶ νεαρὰ, ἐπειδὴ τὰ βοτὰ ἐλαύνει. Ἀντίγονος δὲ βατῆρα, παρὰ τὴν βατηρεῖν. τὴν ἀμφίσβαιναν δέ φασιν ἐκδείραντες, καὶ περιτιθέντες τὸ δέρμα αὐτοῦ τῇ ῥάβδῳ, ὅταν διέρχωνται περὶ ἔργον, ἐν ἐκείνῳ διατρίβουσι τὰς χεῖρας καὶ θερμαίνονται. φασὶ δὲ, μήτε ξύλῳ μήτε ἑτέρῳ τινὶ ἀναιρεῖσθαι τὸ ζῶον, εἰ μὴ ἀμπέλῳ, καὶ αὐτὸς δὲ ὁ Νίκανδρος ἐν τῷ ὀφιακῷ φησί, Διόνυσον ἐμμανῆ γενόμενον ὑπὸ τῆς Ἥρας ὑπνῶσαι. τὴν δὲ ἀμφίσβαιναν πελάσαι αὐτοῦ τὰ σκέλη. τὸν δὲ ἀναστάντα καὶ πλήξαντα περὶ κλήματι ἀποκτεῖναι. ὅθεν καὶ ἔκπαλαι καὶ νῦν κλήματι τελευτᾷ. Πρόσθε βοῆς, πρὸ τοῦ ἔαρος. ἤγουν ἐν περὶ χειμῶνι, πρὶν τὸν τέττιγα ὑποφαίνεσθαι. τὸ, τέττιγος δὲ, ἤρυκε καὶ κόκκυγος. ἐαρτέρου δὲ τοῦ ἐαρινοῦ. τίθησι δὲ τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. Μάλκαι. τῇ μάλκῃ Νίκανδρος ποτὲ μὲν, ἀντὶ τοῦ περὶ τῇ γλώσσῃ ῥίγους χρῆται. ποτὲ δὲ ἀντὶ τῶν ποδῶν καὶ τὸ λοιπὸν καὶ χεῖρας. ὡς τὸ,

Πνεύματος ἀργαλέοιο, πόνοιό τε μαλκιόωντα.

Δημήτριος δὲ, τὸν ὑπὸ τοῦ ῥίγους διεσπασμένον μάλκαι. περὶ δὲ τοῦ ναρκᾶν, ἐν τοῖς χιμφ᾿ οἷς χρῆται. μάλκαι οὖν, αἱ μαλακίαι καὶ δυσκινησίαι, διὰ τὴν τοῦ κρύους ὑπερβολήν. ἢ τὰ χίμετλα. ἤγουν αἱ ῥήξεις τῶν χειρῶν καὶ τῶν ποδῶν. Ξανάα. ἤγουν θερμαίνει καὶ διαλύει. τὸ δέρμα οὖν φησι τῆς ἀμφισβαίνης ἐπιτήδειόν ἐστι ξηραίνειν καὶ διαλύειν καὶ ἀποτείνειν τὰ δεσμὰ καὶ τὰς δυσκινησίας τῶν νεύρων. οἱ δὲ, ξανάα φασὶ τὰ γινόμενα ταῖς γυναιξὶν ἐν χειμῶνι πάθη, ὅταν τὰ ἄκρα τῶν δακτύλων δυσκίνητα ἔχωσι. Σμινύοιο. τῆς μὲν σκυτάλης φησὶ τὸ πάχος παραπλήσιον στειλειῷ σμινύς. σμινύν δὲ, ἢ τὴν δίκελλαν φησίν, ἢ τὴν ἀξίνην, ᾗ σκέπτουσι καὶ ξύλα κλῶσι. τῆς δὲ ἀμφισβαίνης φησὶ τὸ σῶμα λεπτὸν ὡς ἕλμινθος. καὶ γὰρ ἡ ἕλμις λεπτή ἐστιν, ᾗ παρείκασε τὰ λεγόμενα γῆς ἔντερα.

Τὴν μὲν, ὅτ' ἀδρύνηται, ἐροιτύπτοιο βατῆρα
Κόψαντες ῥάδικα πολυστεφέος κοτίνοιο,
Δέρματος ἐσκύλευσαν, ὅτε πρώτιστα πέφανται,
Πρόσθε βοῆς τέττιγος ἐαρτέρου, ἠδ' ὀνίνησι,
Ῥινοῦ δ' ἰσαθέοντας, ὅτ' ἐν παλάμῃσιν ἀεργοί,
Μάλκαι ὑπὸ προθέωσιν ὑπὸ κρυμοῖο δαμέντων
Ἠδ' ὁπόταν ξανάα νεύρων κεχαλασμένα δεσμά.
Δήεις καὶ σκυτάλην ἐγχλίγκιον ἀμφισβαίνῃ
Εἶδος, ἀτὰρ πάχετός τε καὶ οὐτιδανὴν ἐπὶ σφήν,
Πάσσον. ἐπεὶ σκυτάλης μὲν, ὅσον σμινύοιο τέτυκται
Στειλειῆς πάχετος. τῆς δ' ἕλμινθος πέλει ὄγκος.
Ἠὲ καὶ εὔπερα γῆς, δῖα τρέφει ὄμβριμος αἶα.

Ῥωγάδα κεχαραγμένην. ἤγουν τὸν φωλεόν. οὐ δὲ αὐτὴ ἡ σκυτάλη γεύεται μαράθου ὡς οἱ ἄλλοι, ὅταν φησὶν ὑπὸ τοῦ ἡλίου τὸν περὶ τὰ μέλη φλοιὸν ἀποβάλλῃ, ἤγουν τὸ γῆρας. τὰ δὲ ἄλλα ἑρπετὰ περὶ τὸν καιρὸν ἐξιόντα ἐκ τῶν φωλεῶν, ὁρμᾷ ἐπὶ τὴν μάραθον. διὰ τὸ ἀμβλύψαι αὐτῶν. καί περ προθυμουμένη πιεῖν. Ἐπὶ τρία δῶρα, ἤγουν παλαιστάς. δῶρον δὲ ὁ παλαιστή. ἐπὶ τρία οὖν δῶρα τὸ μῆκος. ἤγουν μῆκος φέρει τριπάλαιστον. μῆκος δὲ καὶ ἰθὺν ἐκ παραλλήλου τὸ αὐτὸ, ἤγουν μῆκος. σπειραχθέα, τὰ ὑπὸ τῆς σπείρας βαρυνόμενα. τὰ δὲ μεγάλα ἑρπετὰ, διὰ τὸ βάρος τῆς οὐρᾶς, σπειραχθέα καλεῖται, διὰ τὸ ὡς ἄχθος καὶ βάρος ἔχειν τὴν οὐράν. ἰυγὴ δὲ φωνή τίς ἐστιν. ἡ βοὴ ἀδιάρθρωτος, ἀπὸ τοῦ συμβαίνοντος πεποιημένη. καὶ Ἐρατοσθένης ἐν Ἠριγόνῃ περὶ κυνὸς λέγων, εἶπεν. ἰυγῆς ὡς ταῦρον ἀπίκαυσε. Ὅτ' ἐς νομόν. ὅτε εἰς τὸν νομὸν καὶ τὴν ὕλην καὶ τὸν ἀρδηθμὸν τὸ μεσημβρινὸν ἀΐξαντος, οὐκέτι τὰ σπειραχθέα κνώδαλα τὴν ἰυγὴν τούτου μίμνουσι. ἢ οὕτως. ὅτε τοῦ νομοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἀρδηθμοῦ μείρονται, οὐ μίμνουσι τὴν ἰυγὴν ἐκείνου τὸ μεσημβρινὸν ἀΐξαντος. ἢ λείπει τὸ ὁρμῶσιν, ἵν' ᾖ, ὅτε ἐς τὸν νομὸν καὶ τὴν ὕλην ὁρμῶσιν ἢ καὶ ἀρδηθμοῦ μείρονται, οὐκέτι τὴν ἰυγὴν ἐκείνου μίμνουσιν ἀΐξαντος τὸ μεσημβρινόν.

Οὐδ' ὅτ' ἂν χειάδας λίπῃ καὶ ῥωγάδα πέτρην
Ἦρος ἀεξομένου, ὁπότ' ἑρπετὰ γαῖα φαείνῃ,
Ἀκρέμονος μαράθοιο χυτὸν περιβόσκεται ἔρνος,
Εὖτ' ἂν ἀπ' ἠελίοιο περὶ φλόον ἄψεα βάλλῃ.
Ἀλλ' ἥ γ' ἀρπέζαις τε καὶ ἐν νεμέεσσι πεσοῦσα,
Φωλειῇ βαθύυπνος, ἀπ' εἰκαίης δὲ βοτεῖται
Γαίης, οὐδ' ἀπὸ δίψος ἀλέξεται ἱεμένη περ.
Τεκμαίρευ δ' ὀλίγον μὲν, ἀτὰρ προφερέστατον ἄλλων
Ἑρπηστῶν βασιλῆα. τὸ μὲν δέμας ὀξυκάρηνος.
Ξανθός. ἐπὶ τρία δῶρα φέρων μῆκός τε καὶ ἰθύν.
Οὐκ ἄρα δὴ κείνου σπειραχθέα κνώδαλα γαίης
Ἰυγὴν μίμνουσιν, ὅτ' ἐς νομὸν ἠὲ καὶ ὕλην
Ἠὲ καὶ ἀρδηθμοῖο μεσημβρινὸν ἀΐξαντος,
Μείρονται, φύζῃ δὲ παλιντροπέες φορέονται.
Τύμματι δ' ἐπρήσθη φωτὸς δέμας. αἱ δ' ἀπὸ γυίων
Σάρκες ἀπορρείουσι πελιδναί τε ζοφεραί τε.

βλυωπεῖν, ἃς ἀποξύοντα, ὀξυδερκέστερα γίνεται, καὶ ὀξυαπτέστερα. καθ' ὃν καιρὸν καὶ τὸν φλοιὸν ἀποβάλλει, περιβόσκονται καὶ τὴν ἔξοδον ἐν ταῖς χειαῖς. Ἀλλ' ἥ γ' ἀρπέζαις. ἀρπέζα, τὸ κάτω καὶ ἔσχατον τοῦ ὄρους, ἤγουν ἡ πέζα τοῦ ὄρους, οἱονεὶ ἀρόπεζα. νεμέεσσι δὲ, τοῖς πρὸς νομὴν ἐπιτηδείοις. ἀπ' εἰκαίης δὲ γῆς, ἤγουν ἀπὸ τῆς εὐτελοῦς καὶ τῆς τυχούσης γῆς τρέφεται. τὸ δὲ βοτεῖται, γράφεται καὶ φορέῃ, ἵν' ᾖ ἐμφορέῃ. καὶ τὸ ἀλέξεται δὲ, γράφεται καὶ ἀλεύεται περὶ αὐτῶν, ἵν' ᾖ, οὐδ' ἀπαλεύεται καὶ ἐκκλίνει καὶ ἰᾶται τὴν

Οὐδέ τις. ἤγουν οὐδεὶς τῶν οἰωνῶν τῷ σώματι τῷ ὑπὸ βασιλίσκου δηχθέντι προσπελάζειν δύναται πρὸς τὸ θοινηθῆναι. ἀλλὰ πάντες οἱ οἰωνοὶ φεύγουσι τὸ σῶμα τοῦ δηχθέντος ὑπὸ τοῦ βασιλίσκου. καὶ οὐδεὶς αὐτῶν πρόσεισιν εἰς τὸ θοινηθῆναι. ἀπείργει δὲ ἡ ἐξ αὐτοῦ δυσωδία, πάντας τοὺς οἰωνοὺς ἐλατικὴ οὖσα. ὀμβρήρια δέ, κρώζειν τὸν κόρακα λέγει. ὅτι χειμῶνα δηλοῦσιν οἱ κόρακες.

Οὐδέ τις οὐδ' οἰωνὸς ὑπὲρ νέκυν ἴχνια τείνας,
Αἰγυπιοὶ γῦπές τε κόραξ τ' ὀμβρήρεα κρώζων.
Οὐδὲ μὲν ὅσσα τε φῦλ' ὀνομάζεται οὔρεσι θηρῶν.
Δαίνυνται, τοῖσίν περ ἀϋτμία δηνὸν ἐφεῖται.
Εἰ δ' ὀλοὴ βούβρωστις ἀιδρείῃσι πελάσσῃ,
Αὐτοῦ οἱ θάνατός τε καὶ ὠκέα μοῖρα τέτυκται.
Κεῖνα δ' ἔτι δρυΐναο πιφάσκεο, τόν τε χέλυδρον
Ἐξέτεροι καλέουσιν. ὁ δ' ἐν δρυσὶν οἰκία τεύξας,
Ἢ ὅγε που φηγοῖσιν ὀρεσκεύει περὶ βήσσας.
Ὕδρον μιν καλέουσι, μετεξέτεροι δὲ χέλυδρον.
Ὅς τε βρύα προλιπὼν καὶ ἕλος καὶ ὁμηθέα λίμνην,
Ἀγρώσσων λειμῶσι μολουρίδας ἢ βατραχίδας.
Σπέρχεται ἐκ μύωπος ἀήθεα δέγμενος ὁρμήν.
Ἔνθα καὶ ἐν πρέμνον κοίλης ἀπεδύσατο φηγοῦ
Ὀξὺς ἀλείς. κοῖτον δὲ βαθεῖ ἐνεδείματο θάμνῳ.
Αἰθαλόεις μὲν νῶτα. κάρη γε μὲν ἀρπεδὲς αὔτως
Ὕδρῳ εἰσκόμενον. τὸ δ' ἀπὸ χροὸς ἐχθρὸν ἄητι,
Οἷον ὅτε πλαδόωντα περὶ σκύλα καὶ δέρη ἵππων
Γναμπτόμενοι μυδόωσιν ὑπ' ἀρβήλοισι λαθοῦργοι.

καὶ ὁ Ἄρατος μαρτυρεῖ λέγων.
Δή ποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν,
Ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ' ἐγένοντο.
καὶ Εὐφορίων.
Ὑετομάντις ὅτε κρώζει κορώνη.

Εἰ δ' ὀλοή. εἰ δέ τι τῶν ὀρνέων ὑπερβάλλον τι λιμῷ κατεχόμενον, προσέλθῃ τῷ σώματι, αὐτοῦ ἤγουν αὐτόθι ἀπόλλυται. τὸ δὲ αὐτοῦ ἐπίρρημα τοπικόν. Πιφάσκεο. ἄκουε δὴ καὶ περὶ δρυΐνου, ὃν ἕτεροι χέλυδρον ὀνομάζουσιν. ἔστι δὲ ὄφις ὁ δρυΐνας, ὃς ἐν ἀενάῳ λίμνῃ διαζῇ καὶ ἐν δρυσὶν ἢ φηγοῖσιν. ὅταν δὲ καταλιπὼν τὴν λίμνην εἰς τὴν δρῦν ἔλθῃ, τότε δρυΐνας καλεῖται. καὶ δὴ σημειωτέον, ὅτι ἄλλο ἐστὶ φηγὸς, καὶ ἄλλο δρῦς. ὁ δὲ Θεόφραστος πέντε γένη φησὶ δρυῶν. ἓν δὲ τούτοις τὴν φηγόν.

Μολουρίδας. μολουρὶς ζῷόν ἐστιν, ὅμοιον ἀκρίδι. σπέρχεται δὲ ἀντὶ τοῦ διώκεται ὑπὸ τοῦ μύωπος. τοῦτον γὰρ τὸν ὄφιν ἀεί ποτε τείρει ὁ μύωψ καὶ διώκει αὐτόν. τότε οὖν διωκόμενος ὑπ' αὐτοῦ, εἰς κοῖλον πρέμνον δρυὸς ὑπεδύσατο. Ἀρπεδές. ἴσον ἤγουν πλατὺ καὶ ὁμαλόν. δηλαδὴ οὐκ ὀξυκέφαλός τις ἐστί. τινὲς δὲ περὶ τὴν ἔραν ἤγουν τὴν γῆν, οἱονεὶ ἐροπεδές. ἢ ἀρπεδές. ἤγουν κατὰ τὴν ἀρπεδόνα λεπτόν ἐστι. Τὸ δ', ἐχθρὸν ἄηται. δυσωδία. δηλαδὴ ἀπὸ τοῦ σώματος τοῦ θηρίου τοῦ δρυΐνου ἐκπέμπεται. τοιαύτη δέ φασιν ἐστὶν ἡ δυσωδία, οἵαν οἱ περὶ τὰ δέρματα τῶν ἵππων σκώληκες ἀφιᾶσι, τεμνόμενοι. ἄρβυλοι δὲ λέγονται τὰ κυκλοτερῆ σιδήρια, οἷς οἱ σκυτοτόμοι τέμνουσι καὶ ξέουσι τὰ δέρματα. Λάθαργοι δὲ, οἱ ὑμένες καὶ τὰ ξύσματα τῶν δερμάτων. γναμπτόμενοι δὲ μυδόωσι, τουτέστι ξεόμενοι ταῖς ἀρβύλοις ἢ σμίλαις, ἃ ξύστρας οἱ λάθαργοι, ὄζουσι. γνάμπτω δὲ τὸ ξέω, ἐξ οὗ καὶ γναφεὺς καὶ κναφεύς. ἡ δὲ ἀρβύλη, ἐστὶ καὶ εἶδος ὑποδήματος, παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ.
Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης
Τίθετε. μὴ κτυπεῖτε. μάλ' ἴσω κτύπος.

Κώληπος

Κώληπος· ἤγουν τοῦ ἀστραγάλου. Ὅμηρος. Κόψ' ὄπιθεν κώληπα τυχών. — Πνιγόεσσα δὲ, ἤγουν χαλεπὴ, ὥς τε τὸν ὀσφρανθέντα πνίγεσθαι. κεδαιομένη δὲ ἀντὶ τοῦ σκεδαννυμένη, διονεὶ μεριζομένη, κατὰ σύρησιν τοῦ σ. γράφεται δὲ καὶ κεδαννυμένη. πεδόωσι μυκάζουσιν, διονεὶ ὡς αἶγες κράζουσιν ἢ χασμῶνται κατὰ τὸν τρόπον τῶν αἰγῶν, ἢ βληχῶνται. περιπνιγέες δὲ, ἀντὶ τοῦ περίπνιγοι. ἤγουν ὡσανεὶ περὶ τὸ πνίγεσθαι οὐ δύνανται καθαρῶς ὁμιλεῖν. Οὖρα δ' ἀπέστυπται· ἤγουν ἀποπέπηγε, ἢ ἀπεστύφη. ἀντὶ τοῦ ὠχρὰ φαίνεται. ῥέγκουσι δὲ, ἤγουν ῥέγχουσι. διὰ τὸ μὴ δύνασθαι ἀναπνεῦσαι. τὸ δὲ ἐπιδίψιος ἄτη, ἀντὶ τῆς δίψης χαλεπῇ συνεχόμενοι οἱ ἄνθρωποι ἀποθνήσκουσι. τρόμον δὲ, ἐπειδὴ μὲν τὰ προειρημένα πάντα καὶ τρόμος τις τοῖς μέλεσι τῶν καμνόντων περιΐσχει. Φράζεο δέ. ὁ δράκων ἐτράφη μὲν ὑπὸ τοῦ Ἀσκληπιοῦ κατά τινα τόπον τοῦ πηλίου καλούμενον πελεθρόνιον. τὴν δὲ φύσιν ἐστὶ μέλας, ὑπόχλωρος τὴν κοιλίαν. καλὸς δὲ τὴν μορφήν. τρεῖς ὀδόντας ἔχων στίχους. τὸ δὲ ὑποσκύνιον, πάντοθεν πῖον. ὑπὸ δὲ τὸ πριότητος αἰσάρκας ἐπηγνυμέναι ὑπὸ τὸν ἀνθερεῶνα, πώγωνος παρέχουσι φαντασίαν.

Ἠρι ὅτ' ἐν κώληπες ἢ ἐν πρόδος ἴχνεϊ τύψῃ,
Χρωτὸς ἀποπνιγόεσσα κεδαιομένη φέρετ' ὀδμή.
Τοῦ δ' ἤτοι περὶ τύμμα, μέλαν κορθύεται οἶδος.
Ἐν δὲ νόον πεδόωσιν ἀλυσθαίνοντος ἀνίαις
Ἐχθόμεναι. χροιὴ δὲ μόγῳ αὐαίνεται ἀνδρός.
Ῥινοὶ δὲ πλαδόωσιν ἐπὶ χροΐ. τοῖά μιν ἰὸς
Ὀξὺς ἀεὶ νεμέθων ἐπιβόσκεται ἀμφὶ δ' ἀχλὺς
Ὄσσε κατακρύπτουσα, κακοσθενέοντα δαμάζει.
Οἳ δέ τε μυκάζουσι. περιπνιγέες τε πέλονται.
Οὖρα δ' ἀπέστυπται. τοὶ δ' ἔμπαλιν αὖ ὑπνώοντες,
Ῥέγκουσιν. λυγμοῖσι βαρυνόμενοι θαμέεσιν.
Ἢ ἀπερευγόμενοι ἔμετον χολοειδέα δειρῆς,
Ἄλλοτε δ' αἱματόεντα. κακὴ δ' ἐπιδίψιος ἄτη,
Ἐσχαλιῇ μογέουσι τρόμον κατεχεύατο γυίοις.
Φράζεο δὲ χλοάοντα δαεὶς κυανόν τε δράκοντα,
Ὅν ποτε Παιήων λασίῃ ἐνὶ θρέψατο φηγῷ,
Πηλίῳ ἐν νιφόεντι, Πελεθρόνιον κατὰ βῆσσαν.

δὲ, ἀντὶ τοῦ πεδοῦσιν. ἀμαυροῦσιν. ἀλυσθαίνοντος δὲ, τουτέστι ἀδημονοῦντος, καὶ ἐν ἀλύῃ τυγχάνοντος, ἤγουν ἀδημονίᾳ. Ῥινοὶ δὲ πλαδόωσιν. ἀντὶ τοῦ δυσωδίαν πέμπουσιν αἱ βύρσαι αὐτῶν. νεμέθων δὲ ἤγουν νέμων. καταβρώγων. ἐπιβόσκεται δὲ, ἤγουν καταδαπανᾷ καὶ δαμάζει. κακοσθενέοντα δὲ, ἤγουν μηδ' ὁπωσοῦν ἐρρωμοῦντα. ἢ μὴ ἱστάμενον, ἀλλὰ κακῶς ἱστῶντα ἢ σφόμενον διὰ τὸ βάρος. Οἱ δέ τε, τουτέστιν, ἄλλοι πάλιν τῶν δηχθέντων χολοβαφῶς σώματι προσεοικέναι. τὸ δὲ δῆγμα ἄπρακτον. καὶ τοῦ τοῦ μυὸς προσεοικός. καὶ μὴ σφόδρα χαλεπόν. πολεμεῖται δὲ καὶ πολεμεῖ συνεχῶς τὸν ἀετὸν, πολλάκις μὲν καὶ ἐπὶ τὴν νεοσσιὰν περχόμενος, καὶ τὰ ἐν αὐτῇ ὠὰ σινούμενος, συνεχῶς δὲ κἀκεῖνον ἐνεδρεύων, ὅταν ἐπὶ ἁρπαγὴν ἀρνὸς ἢ λαγωοῦ ῥέπηται. Πελεθρόνιον δὲ τόπος ἐστὶ τοῦ πηλίου ἀνθώδης. διὸ καὶ οὕτω καλεῖται, ἀπὸ τοῦ πλέθειν ἐκεῖσε τὰ ἄνθη. θρόνα γὰρ τὰ ἄνθη λέγεται.

Ἄγραυλος δέ, ἤγουν ἀγλαός· καλός· λαμπρός· εὐπρεπὴς ὡραῖος φαίνεται. ἐπισκύνιον δέ, ὃ καὶ σκύνιον εἶπε, τὸ ἐπάνω τῶν ὀφρύων. χολοιβάφος δέ, ὁ χολῆς χρώματι βεβαμμένος, ὁ χλωρὸς ὥσπερ σμαραγδίζων, ἢ χρυσίζων.

Οὐ μὲν ὅ γ᾽ ἄυτως. οὐ μὴν δεινῶς φησὶν ὁμοίως τοῖς ἄλλοις ἑρπετοῖς ἀνίατα δάκνει. ἀλλὰ κἂν βαρέως χαλεπαίνῃ, τὸ δῆγμα αὐτοῦ σμικρὸν καὶ ὅμοιον μυός ἐστι νυχηβόρου, δηλαδὴ τοῦ ἐν νυκτὶ ἐσθίοντος ὃ ἂν εὕρῃ. εὕρηται δὲ καὶ μυχηβόρου· ἵν᾽ ᾖ τοῦ ἐν μυχοῖς ἐσθίοντος.

Ὑποκραντῆρος. κραντῆρας λέγονται, οἱ ὕστερον ἀναβαίνοντες ὀδόντες, παρὰ τὸ κραίνειν καὶ ἀποπληροῦν τὴν ἡλικίαν. τελείων ἤδη ἡμῶν γενομένων, φύονται οἱ ὀδόντες οὗτοι. Κλέανθος δὲ σωφρονιστῆρας αὐτοὺς καλεῖ. διὰ τὸ ἅμα τούτοις ἀνιέναι αὐτούς, καὶ τὸ σῶφρον τοῦ νοῦ λαμβάνειν ἡμᾶς. νῦν δὲ ἁπλῶς ὀδόντας λέγει.

Ὄρνις. τὸ ὀρνεαιετὸς ἐκ παλάχης, γράφεται καὶ διὰ αἴθρης, ἤγουν διὰ αἰθέρος, ὑψόθεν. Βλώσκοντα δὲ ἐνταῦθα, ἤγουν μολοῦντα. βόσκοντα. ἀναστρεφόμενον. νεμόμενον. λέγει δὲ τὸν δράκοντα.

Ἠρι ὅ γ᾽ ἄγραυλός τε ἐείδεται. ἐν δὲ γενείῳ
Τρίστοιχοι ἑκάτερθε περιστιχόωσιν ὀδόντες.
Πίονα δ᾽ ἐν σκυνίοισιν ὑπόθματα. νέρθε δὲ πώγων
Ἔπλεθ᾽ ὑπ᾽ ἀνθερεῶνος χολοιβάφος. οὐ μὲν ὅ γ᾽ ἄυτως
Ἐγχρίψας ἤλγυνε, καὶ ἢν ἔκπαγλα χαλεφθῇ.
Βληχρὸν γὰρ μυὸς οἷα νυχηβόρου ἐν χροῒ νύγμα
Εἴδεται, αἱμαχθέντος ὑπὸ κραντῆρος ἀραιοῦ.
Τῷ μέν τ᾽ ἔκπαγλον κοτέων βασιλήιος ὄρνις,
Αἰετὸς ἐκ παλάχης ἐπαέξεται. ἀντία δ᾽ ἔχθρην
Δῆριν ἄγει γενύεσσιν, ὅταν βλώσκοντα καθ᾽ ὕλην
Δέρκηται. πάσας γὰρ ὅ γ᾽ ἠρήμωσε καλιάς.
Αὔτως ὀρνίθων τε τόκον κτίλα τ᾽ ὠεὰ βρύκων.
Αὐτὰρ ὅ τοῦ, καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωὸν,
Ῥεῖα δράκων ἥρπασε νέον μάρψαντος ὄνυξι.
Θάμνου ὑπαΐξας. ὁ δ᾽ ἀλεύεται. ἀμφὶ δὲ δαιτὸς
Μάρνανθ᾽. ἱπτάμενον δὲ πέριξ ἀτέλεστα διώκει,
Σπειρηθεὶς καὶ λοξὸν ὑποδρὰξ ὄμμασι λεύσσων.
Εἴ γε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου
Βήσεαι, ἠὲ Σάμον δυσχείμερον, αἵ τ᾽ ἐνὶ κόλπῳ
Θρηικίῳ βέβληνται, ἑκὰς Ῥησκυνθίδος Ἥρης,

Κτίλα τ᾽ ὠεά. ἀντὶ τῶν ἡμέρων καὶ πιθασσῶν τίθεται. καὶ ἀντὶ τῶν πρίμνης προϊσταμένων κριῶν, καὶ ἀντὶ τῶν λιπαρῶν. Ἐμπεδοκλῆς, ἀντὶ τῶν ἡμέρων καὶ πραέων.

Ἦσαν κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
Θῆρές τ᾽ ἀνθρώποισι. φιλοφροσύνη τε δεδήει.

Καὶ Ἡσίοδος. Χρὴ παρὰ κτίλα ἔμμεναι. — ὁ δὲ κριός, τὸν ἡγεμόνα τῶν ποιμνίων κριὸν λέγει. αὐτὸς δὲ κτίλος ἐστὶν ἐπιπωλεῖται στίχας ἀνδρῶν. Ἀτέλεστα διώκει. ὁ δράκων δηλαδὴ τὸν αἰετόν. καθὸ οὐδὲν ἀνύτειν δύναται πρὸς αἰπετομένῳ ἐν ὕψει. τὸ δὲ ἀτέλεστα, ἀντὶ τοῦ ἀτελέστως. τὸ δὲ ὑποδράξ, ἀντὶ τοῦ ὑποβλεμματικῶς, ὑποβλεπομένως. Χαλαίποδος. γράφεται καὶ κυλλοίποδος, καὶ χωλοίποδος. πάντα δὲ τὸ χωλὸν σημαίνει. χαλαίποδος δέ, διὰ τὸ κεχαλασμένους τοὺς πόδας ταῖς ἁρμονίαις ἔχειν.

Ἕβρος ἵνα Ζωναῖά τ' ὄρη χιόεσσα φάλαγξ
Καὶ δρύες Οἰαγρίδαο. τόθι Ζηρύνθιον ἄντρον,
Δήεις κεγχρίναο δολιχὸν τέρας, ὅν τε λέοντα
Αἰόλον αὐδάξαντο περίστικτον φολίδεσσι.
Τὸν, πάχετος μῆκός τε πολύστροφον. αἶψα δὲ σαρκὶ
Πυθεδόνας κατέχευε δυσαλθέας. αἱ δ' ἐπὶ γυίοις,
Ἰοβόροι βόσκονται. ἀεὶ δ' ὑπὸ νηδύσιν ὕδρωψ
Ἄλγεσιν ἐμβέβριθυσα, μετὰ μέσον ὀμφαλὸν ἵζει.
Ἦρι ὅτ' ἠελίοιο θερειτάτη ἵσταται ἀκτίς,
Οὔρεα μαιμώσσων ἐπινίσσεται ὀκρυόεντα,
Αἵματος ἰχανόων, ἠδ' ἐπὶ κτίλα μῆλα δοκεύων
Ἢ Σάου ἢ Μοσύχλου, ὅτ' ἀμφ' ἐλάταισι μακεδ-
Ἄγραυλοι ψύχωσι, λελοιπότες ἔργα νομήων. (ναῖς,

ἔχειν. Ἡφαίστου δὲ νῆσον, τὴν Λῆμνον ἐκάλεσεν· ὡς λέγει καὶ Ὅμηρος. Κάππεσον ἐν Λήμνῳ.

Σάμον δὲ δυσχείμερον, τὴν Σαμοθρᾴκην λέγει. Ῥυσκυνθίδος. ῥυσκυνθίδα τὴν Ἥραν λέγει, ἀπὸ ῥυσκυνθίου ὄρους Θρᾴκης, ὅπερ ἱερόν ἐστιν αὐτῆς, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ἐν αὐτῷ δὲ τῷ τόπῳ, καὶ Κυτίνου Ἀπόλλωνος ἱερὸν ἢ ναός. τῆς Αἴνου δὲ πλησίον ἐστὶν ὁ ποταμὸς Ἕβρος. οὐ μακρὰν δὲ τοῦ ποταμοῦ καὶ Ζώνη πόλις. μεθ' ἣν αἱ Ὀρφέως δρύες εἰσίν, ὑφ' ἃς τὸ Ζηρύνθιον ἄντρον. Οἰαγρίδαο δὲ τὸν Ὀρφέα λέγει. Οἴαγρος δὲ ὁ πατὴρ αὐτοῦ. ἄλλοι δὲ, τὸ Ζηρύνθιον ἄντρον ἐν Σαμοθρᾴκῃ φασὶν εἶναι. Λυκόφρων δέ φησι, Ζηρύνθιον ἄντρον τῆς κυνοσφαγοῦς θεοῦ. ὅ ἐστι σπήλαιον τῆς Ἑκάτης. τῆς δὲ Ζώνης μέμνηται καὶ Ἀπολλώνιος ἐν τῷ Θρῃκίῃ. — Ζώνῃ ἐπὶ τηλεθόωσαι.
μέμνηται καὶ αὐτὸς Νίκανδρος ἀλλαχοῦ.
Καὶ μὴν ὑπὸ Ζωναῖον ὄρος δρύες ἀμφί τε φηγοὶ
Ῥίζῃσι δινεύσαντ' ἀνέστησάν τε χορείαν,
Οἵην παρθενικαί. —

Δήεις. διὰ μακροῦ ἀπελθὼν ἡ ἀπόδοσις. ἔστι δὲ ὄφις μακρὸς κατάστικτος. ὃν καὶ λέοντα φησὶ καλεῖν. ἢ διὰ τὸ πολύστικτον τῶν φολίδων, ἢ διὰ τὸ γενναῖον. ἢ λέοντα ἐκάλουν αὐτὸν, ἤγουν διὰ τὸ ὀρθὴν τὴν οὐρὰν βαστάζοντα διεγείρειν ἑαυτὸν εἰς μάχην. ἢ διὰ τὸ δάκνειν καὶ ῥοφᾶν τὸ αἷμα τῶν ἀνθρώπων. ἅπαντα δὲ καὶ λέων ποιεῖ. ῥοφᾷ δὲ τὸ αἷμα διὰ τῶν κατακλείδων.

Αἶψα δὲ σαρκί. ταχέως δὲ περὶ τὴν σάρκα σηπεδόνας ἐμβάλλει δυσιάτους. αὗται γάρ εἰσιν αἱ πυθεδόνες. Ὅμηρος. — Σῖτος δ' ὅσα πύθεται ἄρουρα. καὶ Ἐρατοσθένης. — Οὐδὲ πελιδναὶ Πυθεδόνες γαστρῶν ὑπέλιπον οὐλοὸν ἕλκος. οἱ δὲ Αἰολεῖς τὸ φθίνειν πύθεσθαι λέγουσιν. Μαιμώσσων, ἀντὶ τοῦ ζητῶν· γράφεται καὶ λαιμώσσων, ἀντὶ τοῦ πεινῶν, ὡς Ἱππῶναξ. Λαιμώσσει δέ σου τὸ χεῖλος ὡς Ἡρώδου.

κτίλα δὲ μῆλα, τὰ ἥμερα καὶ τὰ λιπαρά. ἔστι δὲ ὅτι καὶ τὸν προηγούμενον κριὸν τοῦ ποιμνίου σημαίνει. καὶ ὁ Σάος δὲ καὶ ὁ Μόσυχλος, ὄρη εἰσὶ τῆς Σάμου. μέμνηται δὲ τούτων τῶν τόπων, τὴν Λῆμνον καὶ Σαμοθρᾴκην ἑκατέρας τὰς νήσους διὰ τούτων σημαίνων. ἐκαλεῖτο δὲ Σάος καὶ ἡ ὅλη Θρᾳκικὴ Σάμος. καὶ Μόσυχλος δὲ, τὰ ὄρη τῆς Λήμνου, ὡς Ἀντίμαχος.
— Ἡφαίστου πυρὶ εἴκελον, ὅν ῥα τιτύσκει
Δαίμων ἀκροτάταις ὄρεος κορυφαῖσι Μοσύχλου. καὶ Ἐρατοσθένης.
Εὖτε τοῖς φαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.

Ἄγραυλοι, τουτέστιν οἱ ποιμένες καταλείψαντες τὰ ἔργα τῶν νομέων, τουτέστι τὸ βόσκειν, καταψύχωσιν ἑαυτοὺς καὶ τὰ θρέμματα,

ὑπὸ

ὑπὸ ταῖς μακέδναις ἤγουν ταῖς μήκεσιν ἐλάταις, ἤγουν τισὶν ἐν ταῖς σκιαῖς. Καταφλέξῃ, ἀντὶ τοῦ ἀγριώσῃ. περιπλέξῃ. ἤγουν περιπλακῇ. καὶ τὸ μαστίζων, ἑαυτὸν δηλονότι τῇ οὐρᾷ. ὃ ὃν ἂν θέλῃ πλῆξαι. γράφεται δὲ καὶ, λαιμώσσων, ἵν' ᾖ πνιγῶν. καὶ κατακλεῖδας. ἤγουν τὰς τοῦ πλευμόνος. ἢ τοῦ οἰκείου χαλινοῦ.

χειράνας ὅτι ἡ μήτηρ αὐτοῦ τὴν Δήμητρα ὑπεδέξατο, κατεγέλασέ τι ἰδὼν τῆς θυσίας. καὶ τι καὶ ἐφθέγξατο εἰς τὴν θεόν. ἡ δὲ θεὸς ὀργισθεῖσα, ἐπιχέασα αὐτῷ τὸ ἐν τῷ κρατῆρι ἀπομεῖναν κέρασμα, ἐποίησεν αὐτὸν ἀσκαλαβώτην. τὸ μὲν οὖν ἔρεξε φάτις, ἤγουν ὁ λόγος φησί.

Μὴ σύ γε θαρσαλέως πρὸ ἑῶν θέλε βήμεναι ἄντην
Μαινομένου, μὴ δή σε καταφλέξῃ, καὶ ἀνάγκῃ
Πάντοθι μαστίζων οὐρῇ δέμας, ἐν δέ τοι αἷμα
Λαιφάξῃ κληῖδας ἀναρρήξας ἑκάτερθεν.
Φεῦγε δ' ἀεὶ σκολιήν τ' οὐκ ἰθέαν κατ' ἀταρπὸν ἴλλων,
Δοχμὸς ἀνακρούων θηρὸς δρόμον. ἦ γὰρ ὅ δεσμοῖς
Βλάπτεται εὐκαμπὴς ἧσι πολυστρέπτοισιν ἀκάνθου.
Ἰθεῖαν δ' ὤκιστος ὑπὸ δρομάδην στίβον ἕρπει.
Τοῖος Θρηϊκίῃσιν ὄφις νήσοισι πελάζει.
Ἔνθα καὶ οὐτιδανοῦ περ ἀπεχθέα βρύγματ' ἔασιν
Ἀσκαλάβου. τὸν μέν τ' ἔρεξε φάτις οὕνεκ' Ἀχαιὴ
Δημήτηρ ἔβλαψεν, ὅθ' ἅψεα σίνατο παιδὸς
Καλλίχορον περὶ φρεῖαρ, ὅτ' ἐν Κελεοῖο θεράπναις
Ἀρχαίη Μετάνειρα θεὴν δείδεκτο τρίφρων.
Ἄλλα γε μὴν ἄβλαπτα κινώπετα βόσκεται ὕλην,
Δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας.
Οὓς ἔλοπας λίβυάς τε πολυστεφέας τε μυάγρους
Φράζονται. σὺν θ' ὅσσοι ἀκοντίαι ἠδὲ μόλουροι.
Καὶ ἔτι τυφλῶπες ἀπήμαντοι φορέονται.

Σκολιήν, ἤγουν καμπύλην καὶ οὐκ ἰθεῖαν, ἤγουν τισὶν οὐκ ἰθεῖαν. ἤγουν οὐκ εὐθεῖαν ὅλον βάδιζε. τὸ δὲ ἴλλων σημαίνει καὶ τὸ συνέχειν, καὶ συντηρεῖν. καὶ τὸ δὲ λοχμὸς δὲ, ἤγουν πλάγιος τὴν πορείαν τοῦ ἑρπετοῦ ἀνακρούων. καὶ ἐπιφέρει τὴν αἰτίαν, ὅτι ἐν μὲν τῇ εὐθείᾳ ὁδῷ, ὠκιστόν ἐστι τὸ ἑρπετόν. ἐν δὲ τῇ καμπῇ βραδύτερον. Τοῖος, ἤγουν ὁ οὕτω φοβερὸς δηλαδὴ ὄφις πλησιάζει ταῖς θρακικαῖς νήσοις. Ἀσκαλάβου. ἀσκάλαβον τοῦτο καὶ ἀσκαλαβώτην, γαλεώτην οἱ Ἀττικοὶ καλοῦσιν. ἔστι δὲ σαύρα. ὁ δὲ μῦθος οὗτος. Ἡ Δημήτηρ Κελεὸν λαβοῦσα, ἀντίτροφον ὡς ὑιόν. βουλομένη δὲ ἀπαθανατίσαι, συνεχῶς εἰς τὸ πῦρ ἔβαλλεν. ὡς δὲ εἶδεν πολλὴ τοῦτο ποιοῦσαν, περιφώρασεν ὑπό τινος, ἐπαύσατο καὶ οὐκ ἀπηθανάτισεν αὐτόν. ὑπέδειξε δὲ αὐτῷ τὴν σπορὰν τοῦ σίτου. χρόνῳ δέ ποτε ἡ Μετάνειρα τὴν Δήμητρα ὑπεδέξατο εἰς τὸν οἶκον αὐτοῦ. τῆς δὲ θυσίας γενομένης ἐπ' αὐτῇ, παρὼν Ἄβας ὁ υἱὸς αὐτοῦ, καὶ φθονερώτερον διατεθεὶς πρὸς τὴν θυσίαν τοῦ θεοῦ, καὶ δι-

τὸ δὲ ἀχαιὴ Δημήτηρ, ἡ διὰ τὸ ἄχος καὶ τὴν λύπην τῆς θυγατρὸς, ἢ διὰ τὸν τῶν κυμάτων ἦχον. τὸ δὲ θεράπναις, ἤγουν ταῖς θεραπαίναις, ἢ τόποις πρὸς ξενίαν ἐπιτηδείοις. Ἔλοπας. ἤγουν τισὶν ἀσθενεῖς, ἀπὸ τοῦ γένους δὲ εἰς εἶδος μετέβη. τῶν μὲν καὶ αὐτῶν ἀπὸ τῆς χροιᾶς ἀμμώδεις καλοῦσιν. ἄλλους δὲ μυοθήρας. τινὲς δὲ, ἐλόπας.

τας. λίβυας μὲν οὖν τὰς ἀμμώδεις φησί. πολλοὶ γὰρ ἐν λιβύῃ τοιοῦτοι τυγχάνουσι. πολυστρόφιας δὲ, τὰς πολλοὺς σιφάνας ἔχοντας καὶ γραμμάς. μυάγρους δὲ, τὰς μυοθήρας. οἳ καλοῦνται καὶ ῥοφίαι. ἀκοντίαι δὲ, οἱ κατὰ τὰ ἀκόντια διατρέχοντες. καὶ ἄλλα δὲ ζῶά εἰσιν ἀκοντίαι καλούμενοι, διὰ τὸ ὁρμᾶν ὥσπερ τὰ ἀκόντια. τῶν τυφλώπων δὲ οἱ τυφλῶπες, τουτέστιν οἱ καλούμενοι τυφλῖνοι. οἳ καὶ παυόμενοι, ἠρεμοῦσι. θρόνα δὲ, τὰς ἐμπαθεῖς βοτάνας λέγει. τὸ δὲ διείσομαι, ἀντὶ τοῦ διηγήσομαι. Διαμπερέως, ἤγουν ἀκριβῶς. συντόμως. τὸ δὲ οἷσιν ἀρήγων, ἀντὶ τοῦ οἷς τισι θρόνοις καὶ φαρμάκοις βοηθῶν, τὴν κατεπείγουσάν σε τῆς νόσου ἀνίαν θεραπεύσειας. ἀλθέσθαι γὰρ τὸ θεραπεύειν λέγει. Τὰς μέν. ἄρχεται ἐντεῦθεν περὶ τῶν βοτανῶν διαλέγεσθαι. καὶ πρῶτον περὶ τῆς χειρωνείας. τοῦ οὖν βλύζοντι αἵματι, τοῦ θανάτῳ. καὶ τοῦ ἄλγει, καὶ τῇ ὀδύνῃ φησί. νεόκμητα δὲ, ἤγουν νεοθαλῆ. ἢ νεωστὶ τμηθέντα.

Τῶν μὲν, ἐγὼ θρόνα πάντα καὶ ἀλθεστήρια νούσων,
φύλλα τε ῥιζοτόμον τε διείσομαι ἀνδράσιν ὥρην,
πάντα διαμπερέως καὶ ἀπηλεγές. οἷσιν ἀρήγων,
ἀλθήσῃ νούσοιο κατασπέρχουσαν ἀνίην.
τὰς μὲν, ἔτι βλύζοντι φόνῳ περιαλγέϊ τρίας,
δρέψασθαι νεόκμητα. τὸ γὰρ προφερέστατον ἄλλων,
χώρῳ ἵνα κνῶπες θαλερὴν βόσκονται ἀν' ὕλην.
πρώτην μὲν χείρωνος ἐπαλθέα ῥίζαν ἑλέσθαι,
κενταύρου κρονίδαο φερώνυμον. ἥν ποτε χείρων
πηλίου ἐν νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ.
τῆς μὲν ἀμαρακόεσσα χυτὴ περιδέδρομε χαίτη.
ἄνθεα δὲ χρύσεια φαείνεται. ἡ δ' ὑπὲρ αἴης
ῥίζα, καὶ οὐ βυθόωσα πελεθρόνιον νάπος ἴσχει.
ἣν σὺ καὶ ἀζαλέην, ὁτὲ δ' ἔγχλοον ὅλμῳ ἀράξας,
φυρσάμενος κοτύλην πιέειν μέθυ ὀξηκέος οἴνης.
παντὶ γὰρ ἄρκιός ἐστι τό μιν πανάκειον ἔπουσιν.
ἤτοι ἀριστολόχεια παλίσκιος ἐνδατέοιτο.
φύλλα τε κισσήεντα περικλυμένοιο φέρουσα.

κνῶπες δέ εἰσιν εἴδη ζώων θηριωδῶν. πρώτην μὲν, χείρωνος. περὶ τῆς χειρωνείας ῥίζης φησίν, ἥ τις καὶ πανάκειον καὶ κένταυρος καλεῖται. εὑρεθῆναι δέ φησιν αὐτὸ ὁ Νίκανδρος ὑπὸ Χείρωνος. πολύστροφον δὲ αὐτό φησιν ὁ Θεόφραστος λέγων οὕτω. τὸ δὲ χειρώνειον, ὅμοιον ἀμαράκῳ. μεῖζον δὲ καὶ δασύτερον, ἄνθος δὲ χρυσοειδὲς, ῥίζαν μακράν. φιλεῖ δὲ μάλιστα χωρία ταπεινά. ἐπαλθέα δὲ, ἤγουν θεραπευτικὴν τὴν χειρωνίαν φησίν. ἣν καὶ κενταυρείαν καὶ πανάκειαν καλοῦσιν. ἀμαρακόεσσα δὲ, ἤγουν παραπλησία τῷ ἀμαράκῳ κατὰ τὴν χαίτην, ἀμάρακος δέ ἐστιν ἡ καλουμένη σάμψυχος. οὐ βυθόωσα δέ φησιν. ἤγουν οὐ πάνυ κατωτέρω τὴν ῥίζαν ἀποπέμπουσα. Ἀριστολόχεια. ἀριστολοχείας δύο εἴδη. τὸ μὲν ἄρρεν, θῆλυ δὲ τὸ ἕτερον. τὰ δὲ ἄνθη αὐτῆς, ὡς ὕσγινος βάπτεται. δηλαδὴ ἐρυθρά. ταύτην δέ φησιν Ἀριστοτέλης γυναῖκα εὑρηκέναι. οἱ δὲ ἀκριβέστερον περὶ τούτων ἐρευνῶντες, τὴν ἀριστολόχειαν καὶ τὸ περικλύμενον βοτάνας φασὶν εἶναι, ἐχούσας φύλλα ὅμοια τοῖς τοῦ κισσοῦ. παλίσκιος δὲ, ἡ ἐν τοῖς σκιεροῖς

τόποις φυτεύεται μᾶλλον. ἐνδαττίοιο δὲ, ἤγουν τρίβοιο καὶ πλοίου μείζονος: καὶ τὸ περικαλύμμενον δὲ, τὰ φύλλα ὡς ἔφην ὅμοια τοῦ κισσοῦ, ἢ τοῦ περιβεβλημένου, ἢ ἑτέρῳ τινί. τὸ δὲ ὕσγινον, φυτόν ἐστι, ξανθὸν τῷ χρώματι. καὶ μᾶλλον ἰοβαφεῖν ἐπιτήδειον. ὑσγινοβαφῆ οὖν λέγεται τὰ ὑσγίνῳ βεβαμμένα. Ὑσγίνῳ. τὸ ὕσγινον φυτόν ἐστι, ξανθὸν τῷ χρώματι. ἔθεν καὶ ὑσγινοβαφῆ τὰ ὑπ' αὐτοῦ βεβαμμένα. βάπτονται δὲ ἰοβαφῆ. Ἀχράδα. Ἑρμώναξ ἐν ταῖς κρητικαῖς λέξεσι, τὴν ἀγρίαν ἄπιον ἀχράδα φησὶν εἶναι. ἡ δὲ ἄπιος εἰς πολλὰ διαιρεῖται. καὶ ἡ μὲν βάκχη λέγεται, ἡ δὲ μυρτάς. οἱ δὲ τὴν μὲν ἀχράδα, τὴν ἀγρίαν ἄπιον φασὶν εἶναι. βάκχην δὲ ἄμπελον, ἢ μυῤῥίνην. Ὠρικίοιο. ὤρικος, Ἀπολλωνος πόλις ἐστὶν ἐν Κρήτῃ. ἔνθα καὶ πύξος γίνεται. καὶ διὰ τοῦτο ὠρίκιον αὐτὸν ἐπωνόμασεν. Ἀποῤῥὼξ δραχμαία. τουτέστι μερὶς μία, ἤτοι δραχμὴ τοῦ οἴνου μισγομένη τοῦ κιῤῥαίου, καὶ διδομένη τοῦ δηχθέντι πιεῖν, ὠφέλιμος. κιῤῥάδα δὲ οἶνον, τὴν μέλαιναν ἄμπελον φησίν. Τριόφυλλον. τὸ τρίφυλλον, Διονύσιος μὲν ἐν τοῖς ῥιζοτομικοῖς μινυανθὲς καλεῖ. Καλλίμαχος δὲ, τριπέτηλον. ἔχει δὲ τὸ φύλλον ἐμφερὲς τοῦ λωτοῦ, τὴν δὲ ὀσμὴν τοῦ πηγάνου, καθ' ὃν ἐστὶ νέον. ὅταν δὲ παρακμάσαν φυλλοῤῥοῇ, τότε τὴν ἀναφορὰν ποιεῖται ἀσφάλτου. τρήχωνι δὲ πατάγῳ, ἀντὶ τοῦ ὑψηλοῦ τόπου. καὶ ἀπροσφάτι βήσσῃ, ἀπροσβάτῳ καὶ φάραγγι. Ἰόλαος δὲ ἐν τοῖς περὶ πελοποννησιακῶν πόλεων, τὸ πήγανον ὑπὸ πελοποννησίων, ξυτὴν καλεῖσθαί φησιν. Ὅσον κυμβοῖο. ἤγουν ὀξυβάφου. ἐπειδὴ κύβον ἐστὶ, σημαίνεται δὲ ἐκ τοῦ παραφερομένου, βαπτιζόμενος καὶ τὸ παρὰ Σώφρονι κύμβον ὄγκον ἔχειν. ὃ βαπτίζεσθαι εἴπε, τὸ εἰς βάπτισιν πεποιημένον.

Ἄνθεα δ' ὑσγίνῳ ἐναλίγκια. ἡ δέ οἱ ὀδμὴ
Σκίδναται ἐμβρίθουσα. μέσορ δ' ὡς ἀχράδα κλῆρον
Μυρτάδος ἠὲ ὄχνης τελέθει ἢ σύ γε βάκχης.
Ῥίζα δὲ, θηλυτέρης μὲν ὑποστρογγύλεται ὄγκῳ.
Ἄρσενι δ' αὖ δολιχή τε καὶ ἀμπύγονος βάθος ἴσχει.
Πύξου δὲ χροιῇ προσαλίγκιος ὠρικίοιο.
Τὴν ἤτοι ἔχιός τε καὶ αἰνοπλῆγος ἐχίδνης
Ἀγρεύσεις ὄφελος περιώσιον. ἔνθεν ἀποῤῥὼξ
Δραχμαία μίσγοιτο ποτῷ ἐνὶ κιῤῥάδος οἴνης
Ναὶ μὴν καὶ τριόφυλλον ὀπάζεο κνωπὶ ἀρωγὴν,
Ἠέ που ἐν τρηχῶνι πατάγῳ ἢ ἀπροσφάτι βήσσῃ.
Τὴν ἤτοι μινυανθὲς, ὁ δὲ τριπέτηλον ἐνίσπει,
Χαίτην μὲν λωτῷ, ῥυτῇ γε μὲν εἴκελον ὀδμήν.
Ἠριότ' ἄνθεα πάντα καὶ ἐκπέταλα ψιλὰ τεύχῃ,
Οἷόν τ' ἀσφάλτου ἀποπνεύσεται. ἔνθα κολούσας
Σπέρματα θ' ὅσον κυμβοῖο τραπεζήεντος ἐλέσθαι.

τὸ δὲ κύμβον, λέγεται καὶ κυμβίον καὶ ἐμβάφιον. καὶ ὀξίς. ἡ δὲ συνήθεια καὶ ἄριον καλεῖ. τοῦτο οὖν φησιν, ὅτι λάβε τοσαῦτα σπέρματα ὅσον γεμισθῆναι τὸ ὀξύβαφον. καὶ τὸ παρὰ Σώφρονι δὲ, κύμβου ὄγκον ἔχειν, ἀνωτέρω ῥηθὲν τοῦτο ἐμφαίνει, ὅσον ἂν χωρῇ κυβοειδὲς ποτήριον. Καρδόπῳ. ἤγουν κοίλῳ ἀγγείῳ ἢ καινείῳ. λέγεται δὲ καρδόπος καὶ, ἐν ᾧ τὰ ἄλευρα μάσσονται. Νῦν δ' ἄγε περὶ τῶν μεμιγμένων φαρμάκων ἄρχεται λέγειν. ἃ δὴ καὶ ἀλεξιτήρια ἐπωνόμασεν. ὅ ἐστι ἀποδιωκτήρια,

ἤγουν ἀποκρούσασθαι τὴν νόσον. θρινακίαν δὲ τὴν ῥίζαν τῆς θάψου λέγει. διὰ τὸ ἐν σικελίᾳ εὑρεθῆναι. ἡ γὰρ σικελία, διὰ τὸ τρεῖς ἄκρας ἔχειν, τρινακρία καὶ τρινακία καλεῖται. ἐκεῖ οὖν ἡ θάψος εὕρηται. ταύτης δὲ τῷ χυλῷ χρῶνται πρὸς βαφάς. ἔστι δὲ χλωρότερος. ὅθεν οἱ βουλόμενοι χλωροὶ φαίνεσθαι καὶ νοσώδεις, ταύτῃ περιχρίονται τὸ πρόσωπον. εὑρηκέναι δὲ αὐτήν φασι τὸν Κρατεύαν ἐπὶ νόσῳ τινὶ θάψῳ μιᾷ τῶν σποράδων. ἔστι δὲ αὕτη ἡ νῆσος ἀρχούσης καὶ φοινίκης μεταξύ. περιῤῥακίδας δὲ, κυρίως μὲν, οἱ ἀπὸ τῶν φοινίκων κλάδοι. νῦν δὲ καταχρηστικῶς κέχρηται τῇ λέξει. Ἀσφοδέλοιο διανθέος. διανθῆ φησι τὸν ἀσφόδελον. ἤγουν διαφανῆ ἰσανθῆ. ἢ δισανθῆ, ὡς διπλοῦν ἔχοντα ἄνθος. δὶς γὰρ κατ' ἐνιαυτὸν ἀνθεῖ. ἢ διὰ τὸ τοὺς κύκλους αὐτοῦ ἀνθέρικας καλεῖσθαι. καυλεῖον δέ φησιν τὸν καλαμον. ὑπέρτερον δὲ τὸ ἀνθερίκου φησὶν ἄνω, ἀντὶ τοῦ μεῖζον τοῦ ἀνθερίκου. τὸ δὲ ἀμφὶς, ἀντὶ τοῦ χωρίς. οὐ γὰρ ὥσπερ ἐν ἐρεβίνθῳ συμβέβηκεν, οὕτω καὶ ἐπὶ ἀσφοδέλου. ἀλλὰ χωρὶς ἕκαστον σπέρμα ἐν τῷ ἰδίῳ λοβῷ ἔχεται. τινὲς δὲ τὸ ἀμφὶς, ἀντὶ τοῦ ἀμφιδίλαβον, ἵν' ᾖ, περὶ τὸ σπέρμα. λοβὸς γὰρ λέγεται πᾶσα λεπὶς, ἧς ἔνδον ἐστὶ σπέρμα. ἔστι δὲ καὶ ἄγγειον ἐν ᾧ οἱ γεωργοὶ τὰ σπέρματα βάλλουσιν. Ἠὲ καὶ ἑλξίνην. ἑλξίνη καλεῖται, παρὰ τὸ ἕλκειν εἰς ἑαυτήν. ἡ γὰρ ὀσμὴ αὐτῆς ἐστιν ἑλκυστική. ἢ ὅτι κωλύει τι ἰσχὺς αὐτῆς φύεσθαι. κλύβατις δὲ, ὅτι χυλὸν ἔχει κολλώδη καὶ κηρῷ οἰκεῖον. καὶ τὸν προσιόντα κρατεῖ. ἑλξίνη δὲ, καὶ κλύβατις, καὶ σιδηρῖτις, καὶ παρθένιον, καὶ περδίκιον, πάντα ἐπὶ ἑνὸς φυτοῦ. ἰάμνοις δὲ, ταῖς ἰαμεναῖς καὶ ἕλεσι. Πῖνε. πιεῖν φησι. μίξας τὰ προειρημένα, κοτύλην οἴνου ἢ ὄξους. εἰ δὲ καὶ ὕδατι μίξας πίνῃς, τοῦ μήτε ὄξους μήτε οἴνου παρεῖναι, ἀλύξαις ἂν καὶ ἐκφύγοις τὰ κακά. Ἐσθλὴν δ' ἀλκιβίου. ἀντὶ τοῦ θεραπευτικήν. ἀλκίβιος δὲ καλεῖται καὶ ἔχις ἡ βοτάνη. καὶ ἀλκίβιος μὲν, ἀπὸ τοῦ εὑρόντος Ἀλκιβίου. ἔχις δὲ, διὰ τὸ ἰᾶσθαι ὑπ' αὐτῆς τοὺς ὑπὸ ἐχίδνης πληττομένους. Δημήτριος δὲ ὁ χλωρός φασιν ὑπὸ ἔχεως πληγέντα τινὰ Ἀλκίβιον, κοιμώμενον παρὰ τῇ ἅλωνι ἔνδυς ὕδασι, ἢ ἔνδυς θημωνίας, ἀμφότερα γὰρ τὸ ἄντλον σημαίνει, καὶ τὸν βουβῶνα ἤγουν τὸ γονάτι), ἀναστῆναί τι καὶ ταύτην τὴν βοτάνην ἀνασπάσαι, καὶ τὸν χυλὸν μὲν

Καὶ δ' ὁπόσων ῥίζας, πιέειν ὀφίεσσιν ἀρωγήν.
Νῦν δ' ἄγε τοι ἐπίμικτα νόσων ἀλκτήρια λέξω.
Θρινακίην μὲν ῥίζαν ἕλευ εὐαλθέα θάψου
Μίξας, σὺν δὲ σπέρμα χυτὸν λευκανθέος ἄγνου,
Νήριόν πηγάνιόν τε περιβρυὲς, σὺν δέ τε θύμβρης,
Δρεψάμενος βλαστὸν χαμαιευνάδος, ἤ τε καθ' ὕλην
Οἴας θ' ἑρπυλλοιο περιῤῥακίδας ἀέξει.
Ἀγρεῖ δ' ἀσφοδέλοιο διανθέος, ἄλλοτε ῥίζαν,
Ἄλλοτε καὶ καυλεῖον ὑπέρτερον ἀνθερίκοιο.
Πολλάκι δ' αὖ καὶ σπέρμα, ὅτου λοβοῖς ἀμφὶς ἀέξει.
Ἠὲ καὶ ἑλξίνην, τήν τε κλύβατιν καλέουσιν,
Ὑδαλιτρεμμύλην καὶ ἀειθάλλουσαν ἰάμνοις.
Πῖνε δέ γ' ἐντρίψας κοτυληρυτὸν ὄξος ἀφύσσων,
Ἢ οἴνου. ῥέα δ' αὖ τε καὶ ὕδασι κῆρας ἀλύξαις.
Ἐσθλὴν δ' ἀλκιβίου ἔχιος περιφράζεο ῥίζαν.
Τῆς καὶ ἀκανθοβόλος μὲν ἀεὶ περιτέτροφε χαίτη.

λὸν μὲν διαμασησάμενον πιεῖν, ὡς ἀπηρτηστικὸν τοῦ ἰοῦ. τὸ δὲ μάσημα ἐπιθέντα τῷ ἀλγήματι ἰᾶσθαι. διὸ καὶ ἀλκίβιος ἀπὸ τοῦ ἰαθέντος ἡ βοτάνη ὠνόμασται.

Λείρια δ' ὡς ἴα. τὰ ἄνθη δηλονότι ὡς ἴα περὶ αὐτὴν στρέφεται. ῥαδινὴ δὲ ἤγουν ἡ ῥίζα ῥαδαμνώδης ἐντὸς τῆς γῆς αὔξεται. ἤγουν κλαδώδης. ῥάδαμνος γὰρ ὁ κλάδος. τὸ δὲ ἀνέπνευσεν, ἀντὶ τοῦ εὐθέως ἀναπνεῦσαι αὐτὸν τῆς κακοπαθείας ἐποίησεν. εἰ δὲ ἐνέπνευσε γράφεται, σημαίνει τὸ ἐνέβαλεν. εἰ δὲ ἀνέπνευσεν, οὕτως. ὁ ἀλκίβιος ῥίζαν ἐρυσάμενος, καὶ τὸ μὲν, ἀντὶ τοῦ μέρος, θρύψας τοῖς ὀδοῦσι, τὸν χυλὸν δηλονότι. τὸ δὲ μάσημα ἤγουν τὸν φλοιὸν τῷ τραύματι περιθεὶς, εὐθέως ἀνέπνευσε τοῦ καμάτου, ἤγουν τοῦ πόνου καὶ τῆς κακοπαθείας. θλάζων μὲν οὖν τοῖς ὀδοῦσι τὸν ζωμὸν ἤγουν τὸν χυλὸν καταπίνων. πέσκος δὲ τὸν φλοιὸν τῆς βοτάνης ἤγουν τὸ λέπος φησὶν, ὃ μασησάμενος ἐπέθηκε τῷ τραύματι.

Λείρια δ' ὡς ἴα τῖα περιστρέφεται. ἡ δὲ βαθεῖα
Καὶ ῥαδινὴ ὑπένερθεν ἀέξεται οὔδεϊ ῥίζα,
Τὸν μὲν, ἔχις βουβῶνος ὑπὲρ νεάτοιο χαλάξας,
Αὐτῷ φωλεῦ ὑπνώοντα χυθῇ περὶ τέλσον ἀλωῆς.
Εἶθαρ ἀνέπνευσε καμάτου βίη, αὐτὰρ ὅ γαίης
Ῥίζαν ἐρυσάμενος, τὸ μὲν ἕρκεϊ θρύψεν ὀδόντων
Θλάζων, τὸ δὲ πέσκος ἑῷ τάχα κάββαλεν ἕλκει.
Ἢ μὴν καὶ πρασίοιο χλοανθέος ἔρνεα κόψας,
Χραισμήσαις ὀλίεσσι, πιὼν ἀργῆτι σὺν οἴνῳ.
Ἥ τε καὶ ἀστόργοιο κατείρυσεν οὔθατα μόσχου
Πρωτογόνου, στέργει δὲ περιτροφέουσα γάλακτι.
Τὴν, ἤτοι μελίφυλλον ἐπικλείουσι βοτῆρες,
Οἱ δὲ μελίκταιναν, τῆς τε περὶ φύλλα μέλισσαι
Ὀδμῇ θελγόμεναι μέλιτος, ῥοιζηδὸν ἵενται.
Ἢ σύ γ' ἐγκεφάλοιο πέριξ μήνιγγας ἀραιὰς
Ὄρνιθος λάζοιο κατοικίδος. ἄλλοτ' ὀμόρξεις

Ἡμὲν καὶ πρασίοιο. καὶ τὸ ἔρνος δὲ τοῦ πρασίου πιὼν μετ' οἴνου, βοηθήσει ὁ πληγείς. ἀργῆτι μὲν οὖν οἴνῳ, τῷ λευκῷ καὶ ὀδμώδει καὶ διαπύρῳ. ἀστόργοιο δὲ, τῆς μὴ βουλομένης θρέψαι τὰ βρέφη τῆς μὴ στεργούσης. κατείρυσε δὲ, ἀντὶ τοῦ καταρρεῦσαι ἐποίησε. τὸ δὲ πρωτογόνου, καὶ τῆς ἄρτι γεννηθείσης καὶ τῆς ἄρτι τετοκυίας. νῦν δὲ τὸ δεύτερον σημαίνει. φασὶ γὰρ ὅτι αἱ μόσχοι τῇ σπάνει τοῦ γάλακτος, ἄστοργοι γίνονται. καὶ οὐ χαλῶσι ταῖς θηλαῖς τὸ γάλα, ἀλλ' ἀνακόπτουσι καὶ ἐπέχουσι. ζώγουσαι δὲ τὴν πράσιον, γαλακτοφόρος γὰρ αὕτη, στέργουσι τὰ τέκνα ὑπὸ τοῦ πλεονάζοντος γάλακτος τοὺς μαστοὺς σφαραγούμεναι οἱονεὶ ταρασσόμεναι. μελίφυλλον δὲ καὶ μελίκταιναν τὴν πράσιον οἱ ποιμένες καλοῦσι, διὰ τὸ ὀσμὴν μέλιτος ἔχειν αὐτήν. ῥοιζηδὸν δὲ, ἤδη μετ' ἤχου ῥοίζου καὶ κτύπου ὁρμῶσι πρὸς αὐτὴν αἱ μέλισσαι, ἡδόμεναι τῇ μελιτώδει ὀσμῇ, ἣν ἔχει.

Ἢ σύ γ' ἐγκεφάλου. ἢ σύ φησι λάβε τὰς πέριξ τοῦ ἐγκεφάλου ἀραιὰς μήνιγγας τοῦ κατοικιδίου ὄρνιθος. καὶ ἐπιθεὶς, ὠφελήσεις. τὸ μήνιγγας δὲ, γράφεται καὶ σμύριγγας. καὶ σημαίνει κατά τινας τὰς θρίχας τὰς ἐπὶ τῶν μηρῶν καὶ τοῦ τραχήλου, κατὰ δὲ ἐνίους τὰς ἐπὶ τῶν μετώπων θρίχας. οἱ δὲ τὸν ὑμένα λέγουσι σημαίνειν τὸν περιέχοντα τὸν ἐγκέφαλον. ἔστι δὲ ὄντως τραχύτης, περιέχων τὴν ἀρχὴν τὴν ἐν τῷ νω-

τικῷ

πικίῳ μυελῷ. ὅτι δὲ ὠφελεῖ ὁ ἐγκέφαλος τῆς ὄρνιθος εἰς τοὺς ὀφιοδήκτους, φησὶ καὶ Πέτριχος ἐν ὀφιακοῖς.

Ψῆγμα πολυκνήμου. γράφεται καὶ πολυκνήμον. σημαίνει δὲ ποτὲ μὲν, τὸ περὶ ψῆγμα. ποτὲ δὲ τὴν βοτάνην. ἧς μνημονεύει καὶ Ἀπολλώνιος

κες δὲ, ἢ τὸ ἡράκλειον φησὶν, ἢ τὸ κενταύρειον ὃ καὶ χειρώνειον καλεῖται. ἢ τὸ ἀσκληπίειον. πολλὰ γὰρ πανάκη εἰσί. Θεόφραστος δὲ, τὴν τιθύμαλλον φησὶ πάνακες γενέσθαι καὶ λέγεσθαι. Οὐλοὸν ὄρχιν. ἢ τὸν ὁλόκληρον, ἢ τὸν ὀλέθριον ἑαυτῷ. Σώστρατος γάρ φησιν ἐν τῷ περὶ φύσεως ζώων, ἀμφίβιον εἶναι τὸ ζῷον τοῦτο, ἤγουν τὸν κάστορα. εὑρίσκεσθαι δὲ ἐν ταῖς κατὰ τὴν σκυθίαν ἐρημίαις. καὶ ἔχειν τοὺς ὄρχεις πλατεῖς ὡς κάπρου. λέγεται δὲ λόγος, ὅτι διωκόμενος ἐκκόπτει τοὺς ὄρχεις αὐτοῦ, νοῶν ὡς αὐτῶν ἕνεκα διώκεται.

Ἢ ἵππου. καὶ τοῦ ἱπποποτάμου ὁ ὄρχις ὠφελεῖ φησι. σάϊς δὲ, πόλις Αἰγύπτου γέμουσα ἱπποποτάμων. αἰθαλόεσσαν δέ φησιν αὐτὴν, ἐπεὶ μελάγγειός ἐστιν. ἅρπη δὲ, σημαίνει μὲν τὴν δρεπάνην. νῦν δὲ τοὺς ὀδόντας λέγει, διὰ τὸ ὅτι ὀξεῖς τοὺς στάχυας τρώγει. ζάλον δὲ, τὸ βορβορῶδες κῦμα φησίν. ὁ δὲ χιλὸς, σημαίνει μὲν καὶ τὴν τροφήν.

Ψῆγμα πολυκνήμοιο καὶ ὀρειγάνου, ἢ ἀπὸ κάπρου
Ἧπαρ ἀκρότατον κέρσας λοβὸν, ὅστε τραπέζης
Ἐκφύεται. νεύει δὲ χολῆς σχεδὸν ἠδὲ πυλάων.
Καὶ τὰ μὲν ἂν σύμμικτα πιεῖν δόθι, ἄνδιχα κόψας
Ὄξεος ἢ οἴνης. πλεῖον δ' ἄκος ἕψεται οἴνης.
Ἐν δὲ φόβην ἐρύσαιο ἀειθαλέος κυπαρίσσου.
Ἐς ποτὸν ἢ πάνακες, ἢ κάστορος οὐλοὸν ὄρχιν.
Ἢ ἵππου, τὸν Νεῖλος ὑπὲρ σάϊν αἰθαλόεσσαν
Βόσκει, ἀρούρῃσιν δὲ κακὴν ἐπιβάλλεται ἅρπην.
Ὅς τε καὶ ἐκ ποταμοῖο λιπὼν ζάλον εἱλυόεντα,
Χιλοὶ ὅτε χλοάουσι, νέον δ' ἀπεχεύατο ποίην,
Τόσσον ἐπιστείβων λείπει βυθὸν, ὅσσον πρὸ
Ἐκνέμεται γενύεσσι παλίσσυτον ὄγμον ἐλαύνων.
Τοῦ μὲν, ἀπὸ προταμὼν δραχμῆς βάρος ἰσοφαρίζειν.
Ὕδασι δ' ἄν γ' ἐπίσαιο κύτει ἐν ἀολλέα κόψας.

ἐν τῷ περὶ βοτάνων, ἔτι δὲ γράφεται καὶ ψῆχρα πολύκνημα. Ὅς τε τραπέζης. τράπεζα καὶ πύλαι, μέρη τινά εἰσιν ἐξημμένα τοῦ ἥπατος. ὥσπερ καὶ ὄνυξ καὶ μάχαιρα, καὶ κράνεον. διὰ τοῦ νεύει δὲ χολῆς χεδὸν, καὶ τῶν ἑξῆς, ἀναδιδομένης ἐμπειρίας ἐπιστήμην παρίστησιν οἰκείαν ἔξωθεν παριστορῶν ἐγχειρίως. φησὶν οὖν ὅτι ἐκεῖνος ὁ λοβὸς ὃς τῆς τραπέζης ἐκφύεται, ἐγγύς ἐστι τῆς χολῆς καὶ τῶν πυλῶν τῆς τροφῆς. σύμμικτα δὲ μετ' οἴνου ἢ ὄξους. πλείων δὲ θεραπεία ἐπακολουθήσει τῷ μετ' οἴνου πιόντι. Ἐν δὲ φόβην. φόβη ἡ θρίξ. νῦν τὰ φύλλα. πάνα-

σημαίνει δὲ καὶ τὸν δημητριακὸν καρπὸν, ἤγουν σῖτον καὶ κριθήν. ὅτε τοίνυν φησὶν οἱ χιλοὶ ἤγουν οἱ σῖτοι ὑποχλοάζουσι, τουτέστι δὲ τὴν πρώτην ἀπέθεντο, ἤγουν τὸ βοτανῶδες καὶ χλοῶδες, τουτέστιν ὅτε ἀνθεῖ ὁ σῖτος ὑπόξηρος ὤν, τότε ὁ ἵππος καταλιπὼν τὸ βορβορῶδες κῦμα, καὶ τὸν βυθὸν, καὶ ἐξιὼν τοῦ ποταμοῦ, τοσοῦτον πατεῖ, ὅσον δύναται φαγεῖν. καὶ πάλιν ὑποστρέφων, καταλαβεῖν τὸν ποταμόν. τὸ γὰρ στεῖβον, πρὸς ἀντιδιαστολὴν τοῦ κολυμβᾶν εἶπε. νηκτὸν γάρ ἐστι τὸ ζῷον. παλίσσυτον δὲ, τὸν ὀπισθόρμητον ἢ ἀναποδίζουσαν. ὄγμος

δὲ ἡ τάξις. ἡ ἀπόστιχος φυτουργία τῶν δένδρων, καὶ ἡ κατὰ τάξιν ἀγωγή. νῦν δὲ ἁπλῶς τὴν ὁδόν. γίνεται δὲ παρὰ τὸ ἄγω, ἀγμός, καὶ ὄγμος μεταθέσει τοῦ ο εἰς α αἰολικῶς, καὶ ὑπερθέσει τοῦ τόνου. Ἀραιοτέρης. Ἀντίγονος τὴν λεπτόφυλλον δάφνην ἀραιοτέραν εἶναι φησίν. τὴν δὲ αὐτὴν καὶ εὐρεῖαν καλεῖσθαι. ἀραιοτέρης οὖν τῆς λεπτοφύλλου. Χραισμήεις. πάνυ δὲ καὶ ὁ ἀμάρακος ἤτοι σάμψυχος, ἐστὶ βοηθητικός. ὅταν ἐν τοῖς ἀιδύροις καὶ ταῖς πρασιαῖς ἤγουν τοῖς κήποις καὶ ταῖς ἀναχώσεσι τῶν ποταμῶν ἀνθεῖ καὶ φυτεύηται.

Τάμισον, τὴν πιτύαν λέγει ἥτις ἐστὶ τῶν ἤδη γαλακτοτροφουμένων εὑρίσκεται. χρῶνται δὲ αὐτῇ πρὸς πῆξιν τῶν τυρῶν. καὶ νικῶν δὲ ἐν ταῖς δυνάμεσιν ἀρίστην τὴν πιτύαν εἶναι φησί. πρώτην τὴν τοῦ νεβροῦ. δευτέραν δὲ τὴν τοῦ λαγωοῦ καὶ τρίτην τὴν τοῦ ἐρίφου, ὡς μέμνηται ὁ Θ. δνρίδ.

γοντες, τὴν μὲν πρώτην, ἤνυστρον καλοῦσι. τὴν δὲ δευτέραν, ἐχῖνον. τὴν δὲ τρίτην, κεκρύφαλον. Δραχμάων δὲ ὅσον τε δύω μοίρας, ἀντὶ τοῦ δύο δραχμάς. ὁ δὲ κύαθος, μέτρον ἐστί. τὸ δὲ παλιοῦ, ἀντὶ τοῦ παλαιοῦ ἢ λευκοῦ.
Χραισμεῖν. χραίσμην, τὴν βοήθειαν λέγει.

Μὴ δὲ σύ γ' ἀβροτόνου ἐπιλήθεο. μηδέ τι δάφνης
Καρπὸν ἀραιστέρης. μάλα δ' ἂν καὶ ἀμάρακος εἴη
Χραισμήεις, πρασιῆς τε καὶ ἀνδήροισι χλοάζων.
Ἐν δὲ τίθει τάμισον σκίνακος νεαροῖο λαγωοῦ,
Ἢ προκὸς ἢ νεβροῖο πάροιθ' ἀπλύματα κόψας,
Ἢ ἐλάφου νηδύν, τὴν δὴ καλέουσιν ἐχῖνον
Ἄλλοι δ' ἐγκατόεντα κεκρύφαλον· ὧν ἀποθρύψας
Δραχμάων ὅσον τε δύω καταβάλλεο μοίρας,
Τέτρασιν ἐν κυάθοις μέθυος παλιοῦ ἀπομίξας.
Μηδὲ σέ γε χραισμεῖν πολιοῦ λάθοι ἠὲ κέδροιο,
Ἀρκεύθου, σφαίρη τε θερειλεχέος πλατάνοιο,
Σπέρματα βουπλεύρου τε καὶ ἰδαίης κυπαρίσσου,
Ἠὲ σὺ δ' ἐξ ἐλάφοιο ταμὼν ποιρῖνα βοραίην,

σκίνακος δὲ τοῦ σκιρτητικοῦ, εὐκινήτου. ταχέως. προκὸς δὲ, τοῦ τέκνου τῆς δορκάδος. πάροιθ' ἀπλύματα δὲ, ἀντὶ τοῦ πρῶτον τὰ ἀφοδεύματα καθάρας. Η ἐλάφου νηδύν. ἐλάφου νηδὺν τὴν κοιλίαν λέγει. ἣν δέ φησι καλοῦσιν ἐχῖνον, τουτέστιν ἣν πολύπτυχον λέγουσιν. ἐχῖνος μὲν οὖν κυρίως, ἡ κοιλία τοῦ βοός. νῦν δὲ ἐπὶ τῆς ἐλάφου. καὶ ὁ κεκρύφαλος δὲ εἶδος κοιλίας. ἰστέον δὲ ὅτι τρεῖς εἰσι κοιλίαι. καὶ ἡ μὲν πρώτη καὶ ἄνω κεκρύφαλος καλεῖται, παρὰ τὸ κρύπτειν τὴν τροφήν. ἡ δὲ δευτέρα ἐχῖνος, διὰ τὸ ἔχεσθαι ἐκεῖ τὴν τροφήν. ἢ διὰ τὸ τραχύ, ἵν' ἡ πολύπτυχος. τρίτη δὲ ἀποκριτική. οἱ δὲ τῶν μηρυκωμένων ζώων τρεῖς τὰς κοιλίας λέ-

Ἄρκευθος δὲ καλεῖται ὁ καρπὸς τῆς κέδρου. ἐπεὶ καὶ αὐτὸ τὸ δένδρον, ἄρκευθος λέγεται. ἔστι δὲ καὶ εἶδος βοτάνης. θερειλεχέος δὲ, ἤγουν σκιώδους. ἐπεὶ πλατέα ἔχει τὰ φύλλα, ὥστε δύνασθαι ὑπ' αὐτῶν σκεπάζεσθαι θέρους ὄντος. ἢ διὰ τὸ ἐν θέρει δύνασθαι ποιεῖν λέχος ἐκ τῶν φύλλων αὐτοῦ. ὁ δὲ καρπὸς αὐτοῦ σφαιρία τινὰ τραχέα ἐστί. ὃν δὴ καὶ σφαίραν εἶπε. Βουπλεύρου. Δημήτριος ὁ χλωρὸς τὴν βούπλευρον δένδρον εἶναι φησίν. οὐκ ἔστι δὲ, ἀλλὰ λάχανον, οὗ μνημονεύει Νίκανδρος ἐν τῷ ἐπιγραφομένῳ ὑακίνθῳ. καὶ Ἐπαίνετος ἐν τῷ περὶ λαχάνων. Ἀντίγονος δέ φησι καὶ Λύκωνα μεμνῆσθαι τοῦ λαχάνου. ἰδαίας δὲ, ἢ κρητικῆς, ἢ ὀρεινῆς. καταχρηστικῶς γὰρ πᾶν ὄρος, ἴδη.

Ποιρῖνα

Ποιρῖνα, ποτὶ μὲν τὸ ἀσθεῖον τῶν διδύμων. ποτὲ δὲ τὸ ἄκρον τοῦ αἰδοίου. δι' ὧν αἱ προῤῥέουσι σφῖσι πίνοντες. θοραίην δὲ, τὴν σπερμαίνουσαν. θορὸς γὰρ τὸ σπέρμα, ὥς φησι καὶ ὁ Ὀππιανός.
Σώχειν. σώχειν ἐστὶ, τὸ τρίβειν καὶ λεοῦν.
Κυάθεια, οὐδετέρως εἶπεν, ὡς κύλλα καὶ λύαν. καὶ τὸ ὄξος γλυκάδιον. καὶ τὰ ταχεῖς, ἀργούς. ὥς φησιν Ὅμηρος,
οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς.
Ἦτρον, τὸ γονάτιον. ἢ τὸν ὀμφαλὸν νάρθηκος λέγει. ἢ ἦτρον, τὴν ἐντεριώνην φησίν. κυρίως δὲ ἦτρον ὁ μετὰ τὸν ὀμφαλὸν τόπος. καὶ ἦτρον τὸ ὑπαρήτριον ἱππείοιο. ὀλόψας δὲ, ἀντὶ τοῦ λεπίσας κόψας. ἱππείου μαράθου. καὶ τὸ ἱππομάραθον, εἶδος βοτάνης ἐστί. Θεόφραστος δὲ λέγει, τὸ ἱπποσέλινον εἶναι. ἐν τοῖς πεζώδεσι δὲ τόποις φύεται. ὃ δὴ οὕτως ὠνόμασαι, διὰ τὸ μέγα εἶναι. ἢ διὰ τὴν τῶν ἵππων στραγγουρίαν. τοῦτο δὲ, σμυρνεῖον καὶ κόψον καλοῦσι τινές. ὡς Ἀνακρέων ἐν τοῖς περὶ ῥιζοτομικοῖς. ἑλεοθρέπτου δὲ σελίνου, τοῦ ἐν τοῖς ἕλεσιν ἤγουν ἑλώδεσι καὶ καθύγροις τόποις φυομένου. καὶ τρεφομένου. ἐχεπευκέος. ἤγουν πικρᾶς καθάπερ πεύκη. πικρὰ γὰρ αὕτη. δραχμάων δὲ δύο ἄχθη φησί τουτέστιν ὁλκήν. Ἀθερηγενέος δὲ, ἐπειδὴ τοῦ κυμίνου ὁ στάχυς ἀθέρας ἔχει, καθάπερ καὶ ἡ κριθή. Κυάθῳ. τουτέστι τρισὶ τοῖς κυάθῳ ἄντλει. ἀντὶ τοῦ τρεῖς κυάθους. ἀφύξιμον δὲ, παρὰ τὸ ἀφύσσειν. εὐσταθέος δὲ, τοῦ ναρδοστάχυος δραχμὴν στήσας. εὐσταθοῦς δὲ αὐτήν φησιν, διονεὶ ῥωστικήν. γράφεται καὶ εὐστάχυος. Ὀκταπόδην. τὸν ποτάμιον καρκῖνον φησίν. ὀκτὼ γὰρ πόδας ἔχουσιν οἱ καρκῖνοι. ποβδάλλειο δὲ, ἀντὶ τοῦ πῶσι ἐμβαλλομένης, τουτέστι πεπηγμένην, ἢ καμίνευον. ἐστὶ δὲ

πάντα δ' ἀληθήσει, καὶ ἀθέσφατον ἐκ μόγον ὤσει.
Τὴν δὲ μεθεξετέρην θανάτου φύξιν τε καὶ ἀλκὴν
φράζεο, πουλυβότειραν ἑλὼν τροχαλῷ ἐνὶ λίγδῳ
Σώχειν. ἐν δέ τε οἱ κοτύλην πισάνοιο χέασθαι.
Ἐν δὲ δύω κυάθεια παλαισταγέος οἴνοιο.
Ἐν δὲ καὶ ἀργέσταο λίπευς ἰσόμοιρον ἐλαίου.
Φύρσας δὲ, πληγῇσι χολοιβόρον ἰὸν ἐρύξεις.
Ἀγρεῖ δ' ἑξάμορον κοτύλης εὐώδεα πίσσαν.
Καὶ χλοεροῦ νάρθηκος ἀπαὶ μέσον ἦτρον ὀλόψας,
Ἠὲ καὶ ἱππείου μαράθου πολυαυξέα ῥίζαν.
Κεδρίσι μὲν τρίψας ἑλεοθρέπτου τε σελίνου
Σπέρματα. μεσωθὲν δὲ χάδοι βάθος ὀξυβάφοιο.
Ἔνθα καὶ ἱππείου γε ταμὼν ἀποζμεῖα σελίνου,
Δραχμάων δὲ δύο σμύρνης ἐχεπευκέος ἄχθη.
Ἐν δ' ἀθερηγενέος καρπὸν κέρσαιο κυμίνου
Στήσας, ἠὲ χίδνην τε καὶ ἄσαρον ἀμφικυκήσας.
Πῖνε δὲ μιξάμενος κυάθῳ τρὶς ἀφύξιμον οἴνου,
Νάρδου τ' εὐσταθέος δραχμήιον ἄχθος ἑλέσθαι.

χνα. λείπει δὲ τὸ πίε. ὡς ἂν ᾖ, φύρσας δὲ καὶ πιὼν τὸν χολοιβόρον ἰὸν τῶν πληγῶν διελάσεις. χολοιβόρον οὖν φησὶ τὸν βαρὺν καὶ σφοδρῶς χολούμενον, ἢ τὸν ὁμοίως τῇ χολῇ καταβάλλοντα. τὸ δὲ ἐρύξεις ἀντὶ τοῦ ἀπελάσεις. κατασχήσεις καὶ κωλύσεις. ἑξάμορον. ἑξάμορον λέγεται ἕκτον τῆς κοτύλης. εὐώδεα δὲ, κατ' εὐφημισμόν. βαρύοδμος γὰρ ὡς τὴν χολὴν γλυκεῖ-

δὲ

Σὺν δὲ καὶ ὀκταπόδην ποταμῶ ἀποσυληθέντα
Καρκίνον ἐνθρύψαιο νεοβλάστοιο γάλακτος.
Ἶριν θ' ἣν ἔθρεψε Δρίλων καὶ Νάρονος ὄχθη,
Σιδονίου Κάδμοιο θεμείλιον Ἁρμονίης τε.
Ἔνθα δύω δασπλῆτε νομὸν στείβουσι δράκοντε.
Λάζεο δ' ἀνθεμόεσσαν ἄφαντα νύφυλλον ἐρείκην.
Ἥν τε μελισσαῖος περιβόσκεται οὐλαμὸς ἕρπων.
Καὶ μυρίκης λάζοιο νέον πανακαρπέα θάμνον
Μάντιν ἐνὶ ζωοῖσι γεράσμιον. ᾗ ἐν Ἀπόλλων
Μαντοσύνας Κορυπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν.
Μὶξ δὲ κονύζης φυτὸν ἔγχλοον, ἠδὲ καὶ ἀκτῆς
Καυλοὺς ἠνεμόεντας. ἰδὲ πτερὰ πολλὰ καὶ ἄνθη
Σαμψύχου. κύτισόν τε καὶ εὐπλατέας θυμαλίδας.

δὲ ἀντίπτωσις γενικὴ ἀντὶ δοτικῆς. ἔδει γὰρ εἰπεῖν οὕτω. καρκίνον ἐνθρύψαιο νεοβλάστῳ γάλακτι. Ἶριν. κελεύει συμμίσγεσθαι τοῖς τὴν ἰλλυρικὴν ἶριν. Δρίλων γὰρ ποταμὸς Ἰλλυριῶν καὶ Ναρῶν. ὃς διαχωρίζει τοὺς Ἰλλυριοὺς καὶ Λιβύρνους. ἐνταῦθα ὁ Κάδμος καὶ ἡ Ἁρμονία ᾤκησαν. οἳ καὶ εἰς ὄφεις μετεβλήθησαν. ὥς φησι καὶ Διονύσιος, κεῖθ' ὡς εἰς ὀφίων σκολιῶν γένος ἠλλάξαντο. Ἥν τε μελισσαῖος περιβόσκεται. ὅπου φησὶν οἱ δύο ὁ Κάδμος καὶ ἡ Ἁρμονία δράκοντες δασπλῆτες γενόμενοι, τὸν νομὸν στείβουσι. τουτέστι τὸν πρὸς νομὴν ἐπιτήδειον τόπον πατοῦσι καὶ δεινοί εἰσι πριστικοί. ἐρείκη δὲ, εἶδος βοτάνης, ἥ τις φύλλα ἔχει τοῦ κισσοῦ παραπλήσια, μακρότερα δὲ καὶ παχύτερα. οὐλαμὸς δὲ νῦν ἡ τῶν μελισσῶν τάξις. κυρίως δὲ ἡ στρατιωτικὴ τάξις. καὶ τὸ ἕρπων δὲ καταχρηστικῶς εἴρηται, ἀντὶ τοῦ ἱπτάμενος. Πανακαρπέα. ἤγουν περιθαλπία. ἢ τὸν ἁπαλὸν ἔτι καὶ νέον καὶ πάντη ἄκαρπον. οὐδέπω γὰρ ὁ τοιοῦτος ἐστὶ καρποφόρος. ἢ πάντη ἄκαρπον. ἐπειδὴ ἄκαρπός ἐστιν ἡ μυρίκη. καὶ ταύτῃ ἐνομοθέτησεν ὁ Ἀπόλλων τοὺς μάντεις μαντεύεσθαι. διὸ καὶ ἐπίσημον τὸν θάμνον τῆς μυρίκης μάντιν φησίν. ἀλλὰ καὶ μάγοι καὶ Σκύθαι μυρικίνῳ μαντεύονται ξύλῳ. καὶ γὰρ ἐν πολλοῖς τόποις ῥάβδοις μαντεύονται. Δίων δὲ ἐν τῷ πρώτῳ τῆς [illegible] συντάξεως, καὶ τοὺς μάντεις φησὶ μυρικίνοις ῥάβδοις μαντεύεσθαι. Ἡρόδοτος δὲ ἔν τε τῇ τετάρτῃ καὶ ἐν ἄλλαις, ἐν πολλοῖς παράγει τόποις καὶ ἐν τῇ Εὐρώπῃ τινὰς διὰ μυρίκης μαντευομένους. καὶ ἐν Λέσβῳ ὁ Ἀπόλλων μυρίκης κλάδους ἔχει, ὅθεν καὶ μυρικαῖος καλεῖται. καὶ Ἀρχαῖθος φησὶν ἐν τοῖς περὶ ἀρχαιακτίδην καὶ τὸν πρὸς Ἐρυθραῖον πόλεμον, φανῆναι τὸν Ἀπόλλωνα καθ' ὕπνον ἔχοντα μυρίκης κλῶνα. καὶ Μηνόδωρος ἐν τῷ περὶ συνηθείας, ἀρχαιότατον εἶναι φησὶ φυτὸν τὴν μυρίκην. καὶ τοὺς αἰτωλοὺς ἐν τῇ τοῦ Διὸς πομπῇ ἐπιφανεῖσθαι μυρίκην, καὶ περὶ μύλους, τοὺς μάγους. Κορυπαῖος. τινὲς Θεσσαλικός. Κορύπη γὰρ πόλις Θεσσαλίας. γράφεται καὶ Ὀρόπιος. Ὀρόπια γὰρ πόλις Βοιωτίας. ὅπου διασημότατον ἱερὸν Ἀπόλλωνος. Μὶξ δὲ ἤγουν μεμιγμένως. κονύζην δὲ φυτὸν τὸ τῆς κονύζης ἤγουν τὴν κόνυζαν ἔτι ἔγχλοον. ἡ δὲ ἀκτὴ κατὰ Θεόφραστον ἐν τῷ περὶ φυτῶν, θαμνῶδες φυτόν ἐστι. ἔχει δὲ ῥάβδους πηχῶν ἕξ. Κύτισόν τε. Ἀρχίλοχος τὸν κύτισον φυτόν φησιν ὠφέλιμον εἶναι τοῖς θρέμμασιν. ὅτι πλεῖστον γάλακτος ποιεῖ. ὁ δὲ Μίκτων ἐν τῷ περὶ ῥιζοτομικῶν περὶ θυμαλίδος φησὶ, δύο εἶναι εἴδη κραταιάς. καλεῖσθαι δὲ τὸ μὲν πρῶτον ἄρσεν.

ἄρσεν, ὑπό τινων δὲ κώβιον. εἶναι δὲ θαμνίσκον ἔχοντα ῥάβδους ἐρυθράς. τὸ δὲ δεύτερον, μυρίνην. τὸ δὲ τρίτον, θυμαλίδα, εὐγλαγίας δὲ αὐτάς φησιν, ἀντὶ τοῦ πολὺν ὀπὸν ἐχούσας, ἢ γαλακτώδεις. ἤγουν πληθυνούσας τὸ γάλα. σκαφίδεσσι δὲ δοχαίαις, ἀντὶ τοῦ ἀγγείοις δεκτικοῖς. Ὅμηρος, γαυλοί τε σκαφίδες τε. Δεκάτῃ. ἤγουν τὸν οἶνον ἔμβαλε εἰς τὰ εἰρημένα τῷ δεκάτῳ τοῦ χοός. ἢ τὸ ὑπὸ τοῦ χοὸς δεκαζόμενον. δηλαδὴ κοτύλην καὶ πλέον. Γερύνων. ἤγουν τὰ γεννήματα τῶν βατράχων, ἤτοι οἱ μικροὶ καὶ ἀδιάπλαστοι βάτραχοι ζῶντας οὖν φησὶ τοὺς βατράχους ἑψηθέντας μετὰ οἴνου ἢ ὄξους, ἢ ὕδατος, καὶ πίε. Πολλάκι. δύο εἶναι φησὶ θεραπείας. μίαν μὲν, ἑψηθέντων τῶν βατράχων. ἑτέραν δὲ, τοῦ ἥπατος μετὰ κερκυραίου οἴνου. ἄλλην τὴν κεφαλῆς ἢ ἐν οἴνῳ ἢ ἐν ὕδατι. ἐνὶ χεδίῃ δὲ, ἤτοι ἐν τῷ τυχόντι, ἢ ἐν αἰσυπίῳ. χεδία γὰρ πόλις αἰσύπου πλησίον τοῦ χυραίου. Δημήτριος δὲ, χέδιον οἶνον τὸν κερκυραῖον φησί. ἔστι γὰρ πεπηγώς, ὡς Ἀγαθοκλῆς ἐν τῷ περὶ διαίτης. Ἢ αὐτοῦ σίνταο. περὶ τοῦ ἔχιος τοῦδε φησίν. ἡ γὰρ κεφαλὴ τοῦ ζώου ἑψηθεῖσα μετὰ οἴνου, ὠφελεῖ. ἐμπιοθὲν δὲ, ἤγουν ποτισθέν, ποθέν. Ἑλιχρύσοιο. τὸ ἑλίχρυσον ἄνθος ἐστὶν οὗ μέμνηται καὶ Θεόκριτος. πολυδευκέος δὲ, τοῦ γλυκέως. τοῦ ἡδυντάτου. δεῦκος γὰρ τὸ γλυκὺ παρ' Αἰτωλοῖς. ὅθεν ἀδευκὴς ὁ πικρός. ἄνθην δὲ θηλυκῶς εἶπε τὸ ἄνθος. τὸ δὲ κόρκορον εἶδος βοτάνης ἐστὶν ἢ λαχάνου εὐτελοῦς. ὅθεν καὶ παροιμία. καὶ κόρκορος ἐν λαχάνοις. καὶ Ἡφαιστίων μέμνηται τούτου. ἔστι δὲ ἀεὶ κατακεκλιμένον. ὅθεν καὶ ἠμύοντα εἶπεν, οἱονεὶ ἠμυκὸς φύλλον ἔχον. ἢ ἠμύειν, δηλαδὴ κεκλεισμένον. ὡς Ἡσίοδος. μέμυκε δὲ γαῖα καὶ ὕλη. ἐπειδὴ πάντα ἐν χειμῶνι συνεσταλμένα εἰσὶ καὶ ἠσφαλισμένα. Πανάκτειόν τε, τὴν ὁμοίαν πικτείνῳ. τινὲς δὲ πανάκειον τὸ πάντας ἰώμενον. καὶ ἐπέκτασις τοῦ τ διὰ τὸ μέτρον, πανάκτειον. Διοκλῆς δὲ τὴν κονίλην φησίν. ἐφ' ὧν μὲν ἡράκλειον καλεῖσθαι καὶ ὀρείγανον. ἐφ' ὧν δὲ ἀγρίαν ὀρείγανον καὶ πανακίδα. καὶ πανάκτειος οὖν καὶ κονίλη, ταυτόν ἐστι. τὸ δὲ αὐτὸ καὶ ἡράκλειον καὶ ὀρείγανον. Πέτριχος δὲ, ἐν τῷ ὀφιακῷ φησίν. ὅτι κονίλος εὑρεῖ τὴν βοτάνην. Σὺν καὶ ὄνου. ὄνου πέταλον καλεῖται, οἱονεὶ ὀνόφυλλον. τὸ στρομβεῖα δὲ ψώχοιο, ἀντὶ τοῦ τὸν περιφερῆ καρπὸν λείωσον. τὸ, τῆς κακῆς ἐμφόρβια νούσου, οἱονεὶ δαπανητικὰ τῆς νόσου. ἤγουν δι' ὧν ἡ νόσος ἐσθίεται. ἤτοι θεραπεύεται. Ἄγρει μὴν, ἀντὶ τοῦ, ἄγε μὴν ταῖς μικραῖς μήκωσι τὴν ὁμοίαν ῥάμνον κατὰ τὸ μέγεθος, τουτέστιν οὕτω μικρὸν καὶ ὅλον ῥάμνον. ῥάμνος δὲ, φυτὸν ἀκανθῶδες.

πάντα δὲ λίσγῳ θρύπτε, καὶ ἐν σκαφίδεσσι δοχαίαις
φαρμάσσων μέθυ κεῖνο χοὸς δεκάτῃ ἐνὶ μοίρῃ.
Ἀλλ' ἤτοι γερύνων κανάχοι περὶ ἄλλα τοκῆες
βάτραχοι ἐν χύτρῃσι καθεψηθέντες ἄριστοι
βάμματι. πολλάκι δ' ἧπαρ ἐνὶ σχεδίῃ πόθεν οἴνῃ,
Ἢ αὐτοῦ σίνταο κάρη κακόν, ἄλλοτε νύμφαις
ἐμπιοθέν, ποτὲ δ' οἴνου ἐνὶ σταγόνεσσιν ἀρήξει.
Μή σύ γ' ἑλιχρύσοιο λιπεῖν πολυδευκέος ἄνθην,
κόρκορον ἠμύοντα πανάκτειόν τε κονίλην,
ἥν τε καὶ ἡράκλειον ὀρείγανον ἀμφενέπουσι.
σὺν καὶ ὄνου πετάλειον ὀρείγανον, ἀνά τε θύμβρης
στρομβεῖα ψώχοιο κακῆς ἐμφόρβια νούσου.
Ἄγρει μὴν, ὀλίγαις μηκωνίσι ῥάμνον ἐΐσην

ἑρσομένην δὲ, ἤγουν βρεχομένην, δροσιζομένην, αὐξομένην. σημειωτέον δὲ, ὅτι τὸ ἀκανθῶδες φυτὸν ἡ ῥάμνος παρὰ μυσοῖς καὶ λυδοῖς φιλεταιρὶς ὀνομάζεται. τμῶλος δὲ, ὄρος λυδίας. γύγου δὲ σῆμα, τοῦ ἐκεῖ βασιλεύσαντος, ὥς φησιν Ἱππῶναξ ἐν τῷ πρώτῳ τῶν λυδίας ἰάμβων. ἢ τὴν γυγαίαν λίμνην λέγει, ἀπὸ Γύγου τοῦ ἐκεῖ ἄρξαντος. γυγαία δὲ λίμνη λυδίας καὶ μυσίας. καὶ τὸ παρθένιον δὲ λέπας, ἀκρωτήριον τῆς λυδίας ὄντως καλούμενον. καὶ κλεῖτος ὄρος λυδίας ἢ τόπος, ἢ ποταμὸς, ἔνθα παλαιοὶ ἵπποι νέμονται. ἀργοὶ δὲ, οἱ μὴ ἕλκοντες ἅρματα. ἀργοὶ δὲ ἵπποι πρῶτον ἐκεῖ ἐτάφησαν. πρώην δὲ καὶ ἀνδρὶ ὑποζύγιον. χιλεύουσι δὲ, ἤγουν ζέφονται ἐσθίοντες ἢ καὶ ἐσθίουσιν. Ἔνθα δύω ἐχίεια. ἤγουν δύο εἴδη ἐχίου. οὕτω δὲ ὠνόμασται διὰ τὴν ἀπ' αὐτῶν ὠφέλειαν. τῶν γὰρ ὑπὸ ἐχιδνῶν δηχθέντας θεραπεύει. ὅτι δὲ δύο εἴδη μαρτυρεῖ καὶ Νουμήνιος ἐν τῷ θηριακῷ. καὶ φησὶ τὸ ἕτερον ὠφελεῖν. κατὰ δὲ Νίκανδρον καὶ ἄμφω ὠφελεῖ τοὺς ὑπὸ ἐχιδνῶν δηχθέντας. διὸ καὶ οὕτως ἐκλήθησαν, ὧν τὸ ἓν τὸ μικρὸν ὠκιμοειδές ἐστιν. ὤκιμον γὰρ ἔχει τὰ φύλλα παραπλήσια. τὸ γὰρ ὤκιμον διὰ τὸ ἀγχούσῃ, δηλοῖ. ἔχει δέ φησι καὶ ἀκανθώδη φύλλα τὸ μικρὸν ἔχιον. μικρὰν δὲ τὴν ῥίζαν καὶ ὑπὸ γῆν οὖσαν ἐλάχιστον. Ἡ δ' ἑτέρη. τὸ δὲ ἕτερον φησὶν ἔχιον φύλλοις καὶ κλάδοις ὑψηλοῖς ἀεὶ θάλλον ὀλίγῳ περισρίφεται ἄνθει. κάλυξ δὲ τὸ κεκλεισμένον ἄνθος τοῦ ῥόδου. νῦν δὲ ἴσως τὸν βλαστὸν σημαίνει. εὕρηται καὶ κάλυξι. κάλυκι δὲ τὸ ἄνθος. ἢ ζῶον, ᾧ βάπτεται ἡ πορφύρα. Βλάση. ἡ βλάση ἤγουν ὁ στίχος ὥσπερ τοῦ ἐχίου. ἔχις δὲ εἶδος βοτάνης. σφεδανὸν δὲ τὸ βραχύ. καὶ σκληρόν. καὶ σφικτόν. ἀνδρακάδα δὲ, τὴν μερίδα φασὶν οἱ νεώτεροι. ἀλλ' Ὅμηρος ἐπιρρηματικῶς ἀνδρὰξ εἶπεν. ἀπὸ τούτων οὖν φησὶ τῶν ἐχίων ἀνδρακάδα κόψας ἤγουν μερίδα ἰσόμοιρον. ἰσηρέα γὰρ τὸ ἰσόσταθμον ἤδη ἰσόζυγον. σφέλα δὲ κυρίως μὲν τὸ ὑποπόδιον. νῦν δὲ ξύλον κοῖλον, ὥσπερ ὁ ὅλμος. ῥωγάδι δὲ πέτρῃ, τῇ λιθίνῃ θυίᾳ. κεάσας δὲ, ἤγουν σχίσας. Ἠὲ σύ. ἤρυγγος βοτάνη ἐστίν. ἀλθήεντος δὲ ἀκάνθου, ἤγουν θεραπευτικοῦ. λαβὼν τοίνυν τοῦ ἠρύγγου καὶ τοῦ ἀνθεμώδους ἀκάνθου τὰς ῥίζας ἰσοβαρεῖς τρίψον. καὶ σχίσας τρίψον. ὁ δὲ Ἀριστοτέλης διαλεγόμενος περὶ τοῦ ἠρύγγου φησί. νέας ἀγέλας αἰγῶν διατρεχομένων. καὶ ἀνα-

Ἑρσομένην, ἀργῆς δ' αἰεὶ περιτέτροφεν ἄνθῃ,
Τὴν, ἤτοι Φιλεταιρίδ' ἐπίκλησιν καλέουσιν
Ἀνέρες, οἳ Τμώλοιο παραὶ Γύγαό τε σῆμα
Παρθένιον νέουσι λέπας, τόθι κλέϊτος ἀεργοὶ
Ἵπποι χιλεύουσι, καὶ ἀντολαί εἰσι Καΰστρου.
Νῶϊ δ' ἄγε ῥίζας ἐρέω ὀφίεσσιν ἀρωγούς.
Ἔνθα δύω ἐχίεια πιφάσκεο· τὴν δὲ, τὸ μὲν που
Ἀγχούσῃ προσέοικεν ἀκανθήεν πετάλοισιν,
Ταῦρον ἐπεὶ τυτθόν τε καὶ ἐν χθονὶ πυθμένα τείνει.
Ἡ δ' ἑτέρη πετάλοισι καὶ ἐν καλύκεσσι θάλεια
Ὑψηλή. ὀλίγῳ δὲ πέριξ περιφύεται ἄνθει.
Βλάση δ' ὡς ἔχιος. σφεδανὸν δ' ἐφύπερθε κάρηνον.
Τῶν μὲν, ἀπ' ἀνδρακάδα προταμὼν ἰσήρεα χραύ-
Ἢ σφέλα, ἢ ὅλμῳ κεάσας, ἢ ῥωγάδι πέτρῃ. (σμαιν,
Ἠὲ σύ γ' ἠρύγγοιο καὶ ἀλθήεντος ἀκάνθου

τὰς ἴσας καὶ οἱ ἐπακολουθοῦντες. μνημονεύει δὲ τοῦ ἀκάνθου καὶ Θεόφραστος ἐν τῷ περὶ φυτῶν. μᾶλλον δὲ ἀμφοτέρας τὰς βοτάνας, φησὶ φύλλα ἀκανθώδη ἔχειν. Κλώθοντες. γράφεται καὶ χλοάοντες. τὸν δὲ ἐρῖνον τὸν καὶ ἐρινεὸν Διοκλῆς ἐν τῷ ῥιζοτομικῷ φησὶν εἶναι ὅμοιον κνήμου. ἤγουν εὐαξεῖς κλάδους ἐχούσης. σπέραδος δὲ, ἀντὶ τοῦ σπέρμα. καὶ κλίνεται τοῦ σπεράδους. ὡς τετράγους. νεμαῖον δὲ, ὅτι ἐν νεμέᾳ εὑρέθη ἡ βοτάνη αὕτη. καὶ ἀείφυλλον, διὰ τὸ μὴ ἀποβάλλειν τὰ φύλλα. οὐ γὰρ φυλλοῤῥοεῖ. Ἀννήσοιο, διὰ δύο ν ἀττικῶς. ἤγουν ἀνήσου. ὁλκήεσσαν, τὴν ὁλκὴν καὶ βάρος ἔχουσαν διὰ τὰς ῥίζας. ἢ τὴν ἑλκύσασαν πλάστιγγα πεσοῦσαν. Ἄλλοτε μέν τ' ἐχίων. νῦν μὲν τοὺς ὀφιοδήκτους, νῦν δὲ τοὺς σκορπιοδήκτους, ἄλλοτε τοὺς ὑπὸ φαλαγγίων δηχθέντας θεράπευε. Τριπλόον, ἤγουν τριπλοῦν βάρος ἐνθρύπτων ἐν οἴνῳ. τουτέστι τριώβολον, τρεῖς ὀβολούς. ὁ δὲ νοῦς ἅπας ἐστὶ τοιοῦτος. ἐλαίας φύλλα καὶ σελίνου ῥίζας, καὶ ἀνήσου τὸ διπλάσιον βάρος, τὰς εἰρημένας πάσας ῥίζας, ἐχίων λέγω, καὶ ἠρυγγίου καὶ ἀκάνθου, καὶ σελίνου λαβὼν, τρῖψον. καὶ ἐν ἀγγείῳ μίξας, ἔχε εἰς βοήθειαν ὄφεων δήγματος, ἢ εἰς τύμμα σκορπίου, ἢ φαλαγγίου πληγμόν. ἀλλ' ὁπότε τούτων διδόναι ἐθέλοις τινὶ, ὀβολοῦ βάρος τριπλοῦν σταθμήσας, βάλλε ἐν οἴνῳ, καὶ οὕτω δίδοθι.

Ῥίζαν λειώναιο, φέροις δ' ἰσοῤῥεπὲς ἄχθος
Ἀμφοῖν, ἃ κλώθοντες ἐν ἀρπέζαισιν ἐρίνου.
Λάζεο δ' εὐκνήμοιο κόμην βρίθουσαν ὀρείης,
Καὶ σπέραδος νεμεαῖον ἀειφύλλοιο σελίνου,
Σὺν δὲ καὶ ἀννήσοιο τὸ διπλοῦν ἄχθος ἀείρας
Ῥίζαις ὁλκήεσσαν ὑπὸ πλάστιγγα πεσοῦσαν.
Καὶ τὰ μὲν, ὀργάζοιο ἐν εἰν ἑνὶ τεύχεϊ μίξας,
Ἄλλοτε μέν τ' ἐχίων ὀλοὸν σίνος, ἄλλοτε τύμμα
Σκορπιόεντά τε, δῆγμα τ' ἐπαλθήσαιο φάλαγγος.
Τριπλόον ἐνθρύπτων ὀδελοῦ βάρος ἔνδοθεν οἴνης.
Φράζεο δ' αἰγλήεντα χαμαιλέον ἠδὲ ὀρφνόν.
Δοιοὶ δ' ἀμφὶς ἔασιν. ὁ μὲν, ζοφοειδέλος ὦπα
Ἤικται σκολύμῳ. τροχέην δ' ἀπεχεύατο χαίτην.
Ῥίζα δέ οἱ βριαρής τε καὶ αἴθαλος. ἡ δ' ὑπὸ κνημοῖς
Σκαιοῖς ἐντελέθει φυξήλιος ἐννεμέεσσι.
Τὸν δ' ἕτερον δήεις αἰεὶ πετάλοισιν ἀγαυρόν.
Μέσσῃ δ' ἐν κεφαλῇ φύεται πεδόεσσα μολόβρη

ὠκίμῳ, βοηθεῖ δὲ πρὸς τὰ θηρία. φύεται δὲ πρὸς ποταμούς. καὶ κρηνίας. καὶ χέρσους εὐηλίους, καὶ ὑπωρείας. ἃς δὴ καὶ ἀρπέζας εἶπεν. ἀρπέζα γὰρ, οἱονεὶ ὀροπέζα. φησὶ τοίνυν ὅτι ἴσον βάρος φέρε ἠρυγγίου. καὶ ἀκάνθου, καὶ τοῦ ἐρινεοῦ, τοῦ κλώθοντος ἤγουν κυκλοῦντος καὶ ἀποκρεμαμένου καὶ ἠρτημένου, ἐν ταῖς ἀρπέζαις. εὐκνήμοιο δὲ ἤγουν εὐκλάδου ἡ εἶδος βοτάνης. τοῖς δὲ δυσὶν ὀνόμασιν ἐχρήσατο ἀνθ' ἑνὸς, εὔκνημον καὶ ὄρειον καθ' ἑνὸς εἰπών. ἢ εὐ-

Χαμαιλέων. δύο εἴδη εἰσὶ χαμαιλέων. ὁ μὲν, λευκός. ὁ δὲ, μέλας. ὃν τροχίλεον τινές φασι, διὰ τὸ μέλαν, ὡς Κρατεύας. μνημονεύει δὲ καὶ ἀμφοτέρων Θεόφραστος. ζοφοειδέλος δὲ, ὅτι ζοφοειδής ἐστι κατὰ τὴν ὄψιν. ἤικται δὲ, ἤγουν ὅμοιός ἐστι σκολύμῳ. ὁ δὲ σκόλυμος, εἶδος βοτάνης, οὗ καὶ Ἡσίοδος μέμνηται. ἦμος δὲ, σκόλυμός τ' ἀνθεῖ. τροχίλην δὲ χαίτην.

ἤγουν περιφερῆ. τὰ δὲ χαμαίμηλα, ὅμοιά ἐστι ὀριγάνῳ. τὴν δὲ τοιαύτην σκιάδειον καλοῦσιν.

Σκαιοῖς δὲ, σκληροῖς. ἀγκύλοις κοίλοις. σκιὰν ἀποτελοῦσι. πεδόεσσα δὲ, ἤγουν χαμαιπετής. χαμηλή. διὸ καὶ μολοβρὴν εἶπε, οἱονεὶ μολυβδοειδῆ, μόλις ἂν αὐξανομένην, ἢ τὰ πεδινὴν, ἀπὸ μεταφορᾶς τῶν ταπεινῶν τῶν ἐπὶ τῇ βορᾷ μολούντων. βούλεται δὲ λέγειν, ὅτι καυλὸν οὐκ ἔχει. ἀλλ' ἐν μέσοις τοῖς φύλλοις ἐστὶν ἡ κεφαλὴ κειμένη. φάρσος δὲ, ἤγουν κλωνάριον, ἢ τὸ ἐκτὸς τῆς ῥίζης φλοιῶδες. ἢ μερίδα. Ἄλλην δ' ἀλκιβίοιο. τουτέστιν ἄλλην βοτάνην. ἄλλο εἶδος. ἄλλο ἀλκίβιον. φερώνυμον δὲ αὐτὸ εἶπε. ἐπειδὴ ἀλκεῖ ἤγουν βοηθεῖ τῷ δυστυχεῖ τῷ χρωμένῳ αὐτῇ εἰς ἀλεξιτήριον. φαλακραίοισι. φαλακρὰ ἀκρωτήριον Ἴδης. ἢ φαλάκραι τῆς ἐν Ἴδᾳ πεδίου ἀκρωτήρια. ὧν τὰ ὀνόματα, λεκτόν. πίργαμον, καὶ ἴδη. κρύμνη δὲ, καὶ γράσος, πεδία εἰσὶ Ἴδης. ἵππου δὲ, τὸν δούριον λέγει. καὶ λειμῶνας δὲ τῆς Τροίας, ἐν οἷς ὁ ἵππος γέγονε. ἀμυκλαίας δὲ κύνας, τὰς λακωνικάς. Ἐπώρινε. γράφεται καὶ ἐφώρασε. καὶ εἰ μὲν ἐπώρινεν, οὕτω. ταύτην τὴν βοτάνην εὗρεν ὁ ἐπακτὴρ, ἐν τοῖς φαλακραίοις σκοπέλοις, ὅτι ἀνὰ τὸ πεδίον τῆς κρύμνης καὶ τὸν γράσον, κελεύων ταῖς λακωνικαῖς σκύλαξιν, ὅλον τὸν κνυζηθμὸν καὶ τὴν ὑλακὴν τοῦ θυμολέοντος κυνὸς ἐπώρινεν, ἤγουν διήγειρεν. νοεῖται δὲ τὸ εὗρε καὶ τὸ ὅτι ἀπὸ τοῦ ἐκτός. εἰ δὲ ἐφώρασε, νοεῖται ἡ διὰ μόνον, ἵν' ᾖ, τὸν κνυζηθμὸν τοῦ κυνὸς, ἐφώρασε τὴν βο-

ταύτην. Ὅς τε. ὅς τε ὁ κύων, δηλαδὴ ὁ δηχθεὶς ὑπ' ἐχίδνης, ζητῶν τὴν αἶγα. σίβῳ μὲν οὖν τῇ βάσει. γράφεται δὲ καὶ σίβῳ. καυθμὸν δὲ λέγει τὸ κάτω τῆς ῥινὸς μέρος. ἤγουν τὸ ῥάμφος. καὶ τοῦ κανθοῦ, τὸ μὲν πρὸς τὴν ῥῖνα μέρος ῥαντὴρ λέγεται, ὅτι ῥαίνεται τοῖς δάκρυσι.

Ρίζα δ' ὑπεργήεσσα, μελίζωρος δὲ πάσασθαι.
Τῶν δὴ κυάνεον μὲν ἀναίνεο. τὸν δ' ἀπὸ φάρσος
Δραχμαῖον ποταμοῖο πιεῖν, ὕδατεσσι ταράξας.
Ἄλλην δ' ἀλκιβίοιο φερώνυμον αἴρεο ποίην,
Δράχμα χοὸς πλήσας. παύροις δ' ἐν νέκταρι πίνοις.
Τὴν μὲν, ἐπὶ σκοπέλοισι φαλακραίοισιν ἐπακτὴρ
Κρύμνης ἀμπεδίον ἢ ἀνὰ γράσον, ἧχί θ' ἵπποιο
Λειμῶνες, σκυλάκεσσιν ἀμυκλαίῃσι κελεύων,
Κνυζηθμὸν κυνὸς οὖλον ἐπώρινε θυμολέοντος.
Ὅς τε μεταλλεύων αἰγὸς ῥόθον ἐν σίβῳ ὕλης,
Καυθμῷ ἐν ῥαντῆρι τυπὴν ἀνεδέξατ' ἐχίδνης.
Καὶ τὴν μὲν, κλάγξας ἀφενὰς βάλε. ῥεῖα δὲ ποίης
Φύλλα κατέβρυξε. τῷ ἀλεύατο φοινὸν ὄλεθρον.
Λάζεο δ' εὔχλοα φλοιὸν ἐλαιήεντα κρότωνος
Συμμίσγων πετάλοισι μελισσοβότοιο δασείης.

τὸ δὲ ἕτερον παρώπον. Λάζεο, γράφεται καὶ ἆσαι, οἱονεὶ χορτάσαι. κορεσθῆναι. ἐμπλησθῆναι. ἀπαρέμφατον δέ ἐστιν ἀντὶ προστακτικοῦ. ἐλαιήεντα δὲ, ἤτοι ἐλαιώδη. ἢ ἰταλικόν. ἐλαία γὰρ πόλις ἰταλίας. κρότων δὲ εἶδος φυτοῦ ὅμοιον πεύκῃ. συμμίσγων δὲ, ἀντὶ τοῦ μεμιγμένως τοῖς φύλλοις τοῦ μελισσοφύλλου. λέγει οὖν τὸν φλοιὸν τοῦ κρότωνος, ἢ αὐτὴν τὴν ῥίζαν μετὰ τῶν φύλλων τῆς δασείας μελισσοφύλλου. καὶ τὴν σκορπίουρον τὴν λεγομένην ἰσχύουσάν τι καὶ ἡλιοτρόπιον, λευκὰ φύλλα ἔχουσαν ἐλαίαις ἐοικότα φύλλοις. καὶ ῥίζαν κατολισθόνος, τὴν

ἰωμένην

Ἠὲ σύ γ' ἠελίοιο τροπαῖς ἰσώνυμον ἔρνος.
Ἥ θ' ὑπεριονίδαο παλιστρέπτοιο κελεύθους
Τεκμαίρει γλαυκοῖσιν ἴσον πετάλοισιν ἐλαίης,
Αὔτως δ' ἢ ῥίζαν κοτυληδόνος, ἥτ' ἀνὰ κρυμὸν
Ῥηγνυμένων ὀλοφυγδὰ διήφυσε ποσσὶ χίμετλα.
Δήρτε δ' ἢ βλωθροῖο πυρίτιδος ἔγχλοα φύλλα,
Ἢ σκολοπενδρείοιο φέρειν ἄπο καυλὸν ἀμήσας.
Ἄγρει σὺ πάνακες φλεγυήιον, ὅρρά τε πρῶτος,
Παιήων μέλανος ποταμοῦ παρὰ χεῖλος ἄμησεν,
Ἀμφιτρυωνιάδαο θέρων ἰφικλέος ἕλκος,
Εὖτε σὺν ἡρακλῆι κακὴν ἐπυράκτεεν ὕδρην.

ὠνομάσθη τὰ ἀπὸ κρυμοῦ γινόμενα τῶν ποδῶν ὑποκαύματα, καὶ τῆς πυρίτιδος χλωρὰ φύλλα, καὶ τοῦ σκολοπένδρου τὸν καυλὸν, ἢ πανάκειον, πάντα ταῦτα ὠφελεῖν εἰς τοὺς ὀφιοδήκτους. σκορπίουρος οὖν ἡ βοτάνη καλεῖται, ἐπειδὴ ἡ ῥίζα αὐτῆς ἐμφερής ἐστι τῷ τοῦ ζώου κέντρῳ, ἀθεράπευτος οὖσα. ἔοικε δὲ τῇ τῆς κοτυληδόνος. οἱ δὲ κλάδοι αὐτῆς ἀφθαλεῖς, λευκὰ φύλλα ἔχοντες ὡς ἡ ἐλαία, εἰς ὕψος ἀνατείνοντα, ὅμοιοι ὄντες τοῖς ἀεὶ χλοάζουσι τῆς μολοθόρου. αὕτη φύεται ἐν ψαφαρᾷ γῇ, ἢ ὀρεινῇ καὶ κρημνώδει. ἡλιοτρόπιος δὲ διὰ τὸ πρὸς ἥλιον ἀεὶ στρέφεσθαι, ὥσπερ καὶ ἡ ἀνεμώνη. ἔχουσα δὲ, ὅτι τὸ ἐν αἰγύπτῳ αὐτῆς φυτὸν ἀκανθῶδες τοιαύτην ἔχει δύναμιν. ὅταν γὰρ αὐτῆς ἅψηταί τις, μαραίνεται αὐτῆς τὰ φύλλα. ἐπειδὰν δὲ ἐάσῃ, πάλιν ἀναθάλλουσιν. ἰσώνυμον οὖν ταῖς ἡλίου τροπαῖς, τὸ ἡλιοτρόπιον λέγει, ὅπερ οὕτω καλεῖται, διὰ τὸ πρὸς τὰς τροπὰς τοῦ ἡλίου τρέπεσθαι. ἐν γὰρ τῷ ἡλιοτρόπῳ, καὶ ἄνω τὰ φύλλα τρέπεται. τεκμαίρει δὲ, ἤγουν σημαίνει. φαίνει, δείκνυσι. ἴσον δὲ τοῖς πετάλοις τῆς ἐλαίας, ἐπειδὴ καὶ αὐτὴ ἡ ἐλαία τὰ γλαυκὰ τῶν φύλλων ἄνω ἔχει ἐν θέρους ὥρᾳ. τὰ

δὲ μέλανα. χειμῶνος. Κοτυληδόνος. καὶ ἡ κοτυληδὼν εἶδος φυτοῦ ὅμοιον κυμβάλῳ, ἐν θριγκοῖς φυόμενον. ἐὰν δέ τις φάγῃ αὐτὴν, ἔχων χίμετλα ἐν ποσὶν, ἰᾶται. Κρατεύας δὲ ἐν ῥιζοτομικῷ προστίθησιν. ὅτι καὶ αἱ ὕες τὰς ἄρνας μὴ στέργουσαι, ἐάν τις ῥίψας κοτυληδόνα δῷ μεθ' ὕδατος, στέργουσι. τὸ δὲ διήφυσεν, ἀντὶ τοῦ ἰάσατο, ἐθεράπευσε. Τὴν δὲ πυρῖτιν, τὴν καὶ πύρεθρον καλουμένην, βλωθρὸν ὠνόμασεν. ἡ πυρῖτις καλεῖται, διὰ τὸ δριμεῖα εἶναι. βλωθρὸς δὲ, ἤγουν ἁπαλὴ, χλωρὰ ἢ μεγάλη, μακρά. μολοθαίρη τις οὖσα καὶ κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ μ εἰς β, βλοθρή. μνημονεύει δὲ αὐτῆς καὶ Ἰόλαος λέγων αὐτὴν χρησιμεύειν. ἔστι δὲ καὶ ἑτέρα πυρῖτις βοτάνη, ἣν πρὸς παντὸς φασὶ θηρίου δῆξιν ἀγαθὴν εἶναι ὡς δὲ καὶ ἀριστεῦσαι. Καὶ ἡ σκολοπένδριος δὲ, βοτάνη ἐστὶν, ὡς ἐν τῷ ἐπιγραφομένῳ νάρθηκι ὁ Ἀνδρίας εἶπεν. ἔοικε δὲ τὸ πέταλον σκολοπένδρᾳ τῷ θηρίῳ. στυπτικὸν δὲ ἐστι. καὶ βοηθεῖ τοῖς θηριοδήκτοις. Καὶ τὸ πάνακες δὲ, τὸ καὶ παιανικὸν, εἶδος φυτοῦ. φλεγυαῖον δὲ, διότι ἐν φλεγύαις ἔθνει τῆς φωκίδος φύεται. φλεγύαι γὰρ ἔθνος φωκίδος παρὰ δελφοῖς ᾤκησαν. ἢ ἐπεὶ οἱ δελφοὶ Ἀπόλλωνος ἱερὸν ὃ φλεγύαι ἱδρύσαντο. ἢ ἐπεὶ ὁ Ἀσκληπιὸς τοῦτο λέγεται ἰατρεῦσαι, ὅς τις υἱὸς ἦν τῆς κορωνίδος τῆς θυγατρὸς τοῦ φλεγύου. Παιήων δὲ, ὁ Ἀσκληπιός. μέλας δὲ, ποταμὸς βοιωτίας. Ἡρακλέους γὰρ τὴν ὕδραν ἀναιροῦντος, ὁ ἀδελφὸς Ἰφικλῆς πληγεὶς ὑπ' αὐτῆς ἐθεραπεύθη ὑπ' Ἀσκληπιοῦ. ἢ τὸ ἔρνος ἀντὶ τοῦ ὁ υἱὸς τοῦ Ἰφικλέους, ἵν' ᾖ, λέγων τὸν Ἰόλαον πεπλῆχθαι ὑπ' αὐτῆς. ὅπερ ἄμεινον. οὐ γὰρ Ἰφικλῆς, ἀλλ' ὁ τούτου παῖς Ἰόλα-

ες συνεστράτευσεν Ἡρακλεῖ, ἐπὶ τὴν ὕδραν. τὸ δὲ ἄμερσεν, ἀντὶ τοῦ ἔλαβεν. εἰρων δὲ, ἤγουν ἐωμένος. ἐπυράκτεεν· ἤγουν, ἔφλεγεν. Εἰ δὲ σύ γε, σκύλακας κατὰ χρυσικῶς, τὰ τέκνα τῆς γαλῆς. λαιδρὴν δὲ εὐκίνητον, ἀναιδῆ, θρασεῖαν, ἁρπακτικήν. πρόσπαιον δὲ πρόσφατον. ἀποσκύλαιο δὲ, ἤγουν ἐκδείρειας. λάχνη δὲ τὸ δέρμα. καρφαλέον, τουτέστι ξηροῦ, ἢ ξηροποιοῦ. καθύπερθε δὲ ἀντὶ τοῦ ὑπεράνωθεν τῆς ἀϋτμῆς τοῦ πυρὸς τοῦ σελάοντος, ἤγουν ἀναπτομένου, ἢ φλογίζοντος. ἀφόρδια, τὰ σκύβαλα. ἔγκατα, τὰ ἔντερα. ταῦτα δή φησιν ἐκβαλὼν, αὐτὴν τὴν γαλῆν φύρσον, τουτέστι ταρίχευσον. καὶ πάσσον ἅλατι, καὶ ἐν σκιαῖς ξήρανον. ἐν δὲ τῷ ἁλὸς, λείπει ἡ μετὰ, ἵν' ᾖ, μετ' ἁλός. ἠλίου δίχα, ἵν' ᾖ, σκιόφυκτον. ἵνα μὴ ἡ τοιαύτη αὐτοῦ ἤγουν τὸ ὑγρὸν ξηρανθείη ἤτοι ἡ ἰκμάς. μὴ δὴ ἐνισκήλῃ ἤγουν ξηράνῃ φησὶ τὸ σκίναρ νεαρὸν ἔτι ὁ ἥλιος προσπεσὼν ὀξύς. δυσωδίαν ποιῆσαι. ἢ τὴν ἰκμάδα ἀπόλλυσι. σκίναρ δὲ τὸ γέννημα, παρὰ τὸ σκιρτᾶν. ἢ τὸ σῶμα καὶ σκήνωμα τῆς γαλῆς. ὁπόταν δὲ ἡ χρειὼ ἤγουν ἡ χρεία σε καταλαμβάνῃ καὶ κατεπείγῃ, καμνόντα ὑπὸ τῆς ἀλγηδόνος, ἀνάσωχε τῇ κνήσιδι τὸ σκελέτευμα τῆς γαλῆς, καὶ τὸ καλούμενον σίλφιον ἤγουν τυροῦ στροφαλίδα. κατεμπάζῃ δὲ ἤγουν κατεπείγῃ. σῶχε διακνήσει δὲ, ἀντὶ τοῦ διάσωχε καὶ τρίβε τῇ κνήσιδι εἰς μικρά. σκελετὸν δὲ τὸ ἐσκληκός. ἀφαυρὸν δὲ σίλφιον, παρ' ὅσον χαῦνον καὶ οὐ στρυφνὸν τὸ σίλφιον. στροφάλιγγα δὲ, ἣν ἡμεῖς στροφαλίδα λέγομεν. δῖον τυροῦ τροχόν. περὶ ξηροῖο γάλακτος. τουτέστι τυροῦ. περὶ κνήθων ἤγουν ἐπιτρίβων οὕτως, ὡς σίλφιον ἢ τυρόν. προφερέστατον δὲ ἄλλων, ἤγουν ὧν ἄνω εἶπε. γράφεται καὶ ἄλκαρ. Πεύθεο. ἄλλην δύναμιν πυνθάνου φησὶ καὶ ἄκουε τὴν ἐκ τῆς θαλασσίας χελώνης. ἥτις ἀλέξημα γενήσεται τῶν ἑρπετῶν τῷ δήγματι. κρατέουσαν οὖν ἀρωγὴν, ἀντὶ τοῦ βοήθειαν ἐπικρατοῦσαν. θεραπευτικήν. ἔσται δὲ αὕτη ἴλαρ καὶ ἀλεξητήριον τοῦ δήγματος τῶν δολιχῶν ἑρπετῶν ὅσα ἂν τοὺς ἀνιαροὺς καὶ ἐπιπόνους ἀνθρώπους βλάπτωσιν. Ἤτοι ὅταν. ὅταν φησὶ τὴν χελώνην ὑπὲρ τῶν αἰγιαλῶν τοῦ πόντου ἕλξωσιν οἱ ἀσπαλιεῖς ἤγουν οἱ ἁλιεῖς

Εἰ δὲ σύ γε σκύλακας γαλέης ἢ μητέρα λαιδρὴν
Ἀγρεύσας πρόσπαιον, ἀποσκύλαιο δὲ λάχνην,
Κεφαλὴν καθύπερθε πυρὸς σελάοντος ἀϋτμῆς.
Τῆς δ' ἐξ ἔγκατα πάντα βαλὼν καὶ ἀφόρδια γαστρὸς,
Φύρσον ἁλὸς θείοιο, καὶ ἠελίου δίχα τέρσον,
Μή σε μινυσκήλην νεαρὸν σκίναρ ὠκὺς ἀΐξας.
Ἀλλ' ὁπόταν χρειώ σε κατεμπάζῃ μογέοντα,
Σῶχε διακνήσει σκελετὸν δάκος, διά τ' ἀφαυρὸν
Σίλφιον. ἢ στροφάλιγγα περιξηροῖο γάλακτος,
Οἷον ὑπὲρ κνήθων. τὸ δέ τοι προφερέστατον ἄλλων
Ἔσσεται. πάσας γὰρ ὁμῶς ἀπὸ κῆρας ἀλύξεις.
Πεύθεο δ' εἰναλίης χέλυος κρατέουσαν ἀρωγὴν,
Δήγματος ἐξελᾶν ἔμεν δολιχῶν, ὅσα φῶτας ἀνιηροὺς
Ἑρπετὰ σίνονται. τὸ δέ τοι μέγ' ἀλέξιμον εἴη.
Ἤτοι ὅταν βροτολοιγὸν ὑπὲρ πόντοιο χελώνην
Αἰγιαλῶν ἐρύσωσιν ἐπὶ ξερὸν ἁσπαλιῆες,
Τὴν δ' ἀνακυπώσας, κεφαλῆς ἄπο θυμὸν ἀράξαι

δι ἁλιεῖς, ταύτην ἀνακυπώσας, τουτέστιν ὑπτίαν τρίψας καὶ ἀναστρέψας ἐπὶ νῶτον τὴν κεφαλὴν αὐτῆς, ὑπόκοψον χαλκῇ μαχαίρᾳ ἀπὸ θυμὸν οὖν ἀράξαι, ἀντὶ τοῦ φόνευσον. μαυλίδι. μαχαίρᾳ. βλοσυρὸν. μέλαν. κάκιον. κεράμῳ δὲ, πίθῳ. σταμνίῳ. νεοκμῆτι δὲ, καινοῦ ἐκ καμίνου. πελιδνὸν δὲ, ἤγουν μέλανα. οὐρὸς δὲ, ἡ ὑποστάθμη, ἤγουν τὸ ὑδατῶδες τοῦ πεπηγότος γάλακτος. νῦν δὲ ἐπὶ τοῦ αἵματος. ἤγουν τὸ λεπτὸν καὶ ἄπεπτον. ἡ δὲ σύνταξις οὕτως. τὸν πελιδνὸν οὐρὸν πλαδόοντα, ἤγουν ὑγρὸν ἀπηθῆσαι. τουτέστι διυλίσαι. εὐεργέϊ ἤγουν καλῶς κατεσκευασμένῃ. μάκτρῃ, ἤγουν θυΐᾳ ἤγδῃ. πελιδνὸν δὲ, καὶ τὸν μέλανα ὡς ἔφθην, καὶ τὸν σεσηπότα καὶ ἰχωρώδη καὶ ἄχρηστον οὐρόν. τὸ δὲ εὐεργέϊ, γράφεται καὶ ἐν λαεργεῖ, ... ἐκ λίθου κατεσκευασμένῃ, τουτέστι λιθίνῃ. Ης ἔπι δὴ, γράφεται καὶ δὶς ἐπειδὰν. καὶ εἰ μὲν τὸ πρῶτον, οὕτω. ἐφ' ἧς δὴ μάκτρης ξύρανον τὸ αἷμα ἐκχέας τὸν οὐρόν. καὶ αὐτὸ τὸ διατρίβειν καὶ διαπλάθειν, διὰ τὸ θρομβῶσαι, αἷμα συντρί-

ψας καὶ λεώσας, τεσσάρων δραχμῶν βάρος καὶ τὰ ἑξῆς δίδου πιεῖν. εἰ δὲ τὸ δεύτερον, οὕτως. ἐπειδὰν δὶς ἤγουν τῆς χελώνης τὸ αἷμα ξηρὸν ᾖ, κλάσματί καὶ μέρος ἀφελὼν, ὡς τετράδραχμον εἶναι, μίγνυε μετὰ τῶν ἄλλων εἰδῶν, καὶ τοῖς βλαβεῖσι δίδου ἐν οἴνῳ πιεῖν.

Μαυλίδι χαλκείῃ. βλοσυρὸν δ' ἐξ αἷμα χέασθαι
Εν κεράμῳ νεοκμῆτι καμινόθεν. ἐκ δὲ πελιδνὸν
Οὐρὸν ἀπηθῆσαι πλαδόοντ' εὐεργέϊ μάκτρῃ.
Ης ἔπι δὴ τέρσαιο διάδρυφες αἷμα κεάσας,
Δραχμάων πισύρων μίστων βάρος. ἐκ δὲ κυμίνου
Δοιὰς ἀγροτέροιο, τὸ δ' ἐκ ταμίσοιο λαγωοῦ
Τετράμορον δραχμῇσι δύο καταβάλλεο βρῖθος.
Εἶθεν ἀπαρτμήτων, πιέειν δραχμαῖον ἐν οἴνῃ.
Καὶ τάδε μέν τ' ὀφίεσσιν ἀλεξητήρια δήεις.
Εργα δέ τοι σίνταο περιφράζοιο φάλαγγος, (ῥῶξ
Σήματά τ' ἐν βρυχμοῖσιν. ἐπεὶ ῥ' ὁ μὲν, αἰθαλόεις
Κέκληται, πισσῆεν, ἐπασσύτερος ποσὶν ἕρπων,
Γαστέρι δ' μεσάτῃ ὀλοοῖς ἔσκληκεν ὀδοῦσι.

ἡ μὲν οὖν φράσις καὶ ὁ νοῦς μᾶλλον ἀπαιτεῖ τὸ δεύτερον. τὸ δὲ μέτρον, τὸ πρῶτον. Εκ δὲ κυμίνου. μίγνυε φησὶ καὶ ἀγριοκυμίνου δύο δραχμάς. καὶ ἐκ ταμίσου λαγωοῦ τετάρτην μοῖραν τῶν δύο δραχμῶν. τὸ δὲ τετράμοιρον καταβάλλε τῶν δύο δραχμῶν τοῦ ἀγριοκυμίνου. ἀπαρτμήτων δὲ, ἤγουν ἐκ τῆς εἰρημένης συνθέσεως κατασκευῆς, δραχμὴν λαβὼν, μετ' οἴνου πιεῖν δίδου τοῖς βλαβεῖσι. ἐν δὲ τοῖς δραχμαῖον, λείπει τὸ βάρος. Εργα δέ τοι σίνταο. ὁ Βασιλεὺς ἐν τοῖς θηριακοῖς, δέκα γένη φησὶν εἶναι τῶν φαλαγγίων. Απολλόδωρος δὲ ἐν τοῖς περὶ θηρίων, καὶ Αριστοτέλης φησὶν, ὅτι ἐν γαργάθοις γεννῶσι τὰ φαλάγγια. τίκτει δὲ, ὑπὲρ τὰ τριάκοντα. γεννηθέντα δὲ τὰ φαλάγγια, ἀναιρεῖ τὴν μητέρα. ἐνίοτε δὲ καὶ τὸν ἄρρενα. τὸ οὖν πρῶτον φησὶ φαλάγγιον, ῥὼξ καλεῖται, διὰ τὸ ῥωγὶ σταφυλῆς ἐοικέναι. ῥὼξ οὖν φαλάγγιον εἶδος, ὅπερ κατὰ μέσην γαστέρα τὸ στόμα ἔχει. τοῦτο δὲ καὶ μέλαν κέκληται. τὸ δὲ πισσῆεν, τὸ μέλαν δηλοῖ. δηλαδὴ πισσῶδες, διὰ τὸ τοιοῦτον εἶναι τὴν χροιὰν ἢ τὴν πνοήν. ἢ οὕτως. αὐτὸ ὃ κέκληται ῥὼξ, πισσῆεν ἤγουν μέλαν ἐστί. τὸ οὖν φράζεο, ἀντὶ τοῦ περισκόπει. τὸ δὲ σήματά τ' ἐν βρυχμοῖσιν, ἀντὶ τοῦ, καὶ τὰ ἐν τοῖς δήγμασι γινόμενα σημεῖα. τὸ δὲ γαστέρι ἐν μέσῃ ἔσκληκεν.

Τοῦ δὲ καὶ ἐγχρίμψαντος, ἀνυστήτῳ ἴκελος χρὼς
Μίμνει ὁμῶς. τὰ δ' ἔνερθε φάη ὑποφοινίσσονται.
Φρίκη δ' ἐν ῥέθεϊ σκηρίπτεται. αὐτίκα δὲ χρὼς
Μέζεά τ' αἰδοιοῦς ὑπένερθε τιταίνεται. οὐδέ τι καυλὸς
Φύρματι μυδαλέος προϊάπτεται. ἰσχία δ' αὔτως
Μάλκη ἐνισκίμπτουσα, κατήριπεν ἔρχματα γούνων.
Ασέριον δ' ἔφ' ὅλον ἄλλο πιφάσκεο. τοῦ δ' ἐπὶ νώτῳ
Λιγνωτὰ στίλβουσι, διαυγέες ἐν χροῒ ῥάβδοι.
Βρύξαντος δ' ἀΐδηλος ἐπέδραμεν ἀέρι φρίκη.
Ἐν δὲ κάρος κεφαλῇ. γούνων δ' ἐρυπέκλασε δεσμά.
Κυάνεον δ' ἔτι ἄλλο πεδήορον ἀμφὶς ἔειπον
Λαχνῆεν. δεινὸν δὲ φέρει καὶ ἐπὶ χροῒ νύγμα,
Ὧν τινα γνώσειας. κραδίη δέ οἱ ἐν βάρος ἴσχει.
Νὺξ δὲ περὶ κροτάφοις. ἔμετον δ' ἐξήρυγε δειρῆς
Λυγρὸν ἀραχνήεντα. νέμει δέ οἱ ἐγγὺς ὄλεθρον.
Ἀγρώστης γε μὲν ἄλλος, ὃ δὴ λύκου εἴσατο μορφῇ.

κον, ἤγουν ἐξηύρανται κατὰ μέσον τὴν γαστέρα. ἤγουν τὸ στόμα καὶ τοὺς ὀδόντας κατὰ μέσον τῆς γαστέρα ἔχει. Τοῦ δὲ, τούτου τοῦ φαλαγγίου πλήξαντος φησὶν, ἀνούτητοι καὶ ἄτρωτοι τὸ σῶμα μένουσιν οἱ πληγέντες. οἱονεὶ κατὰ τὸ ἀφανὲς πλήττει τῇ πληγῇ καὶ δῆγμα μὴ ἐργαζόμενον. οἱ δὲ ὀφθαλμοὶ τοῦ πληγέντος, φοινικοῖ καὶ μέλανες γίνονται. τὰ ἔνερθεν οὖν φάη, τουτέστι τὰ φάη ὑποκάτω φοινίσσονται. τὸ αὐτίκα δὲ χρὼς καὶ τὰ μέζεα, τοῦτο βούλεται δηλοῦν, ὅτι τὸ σῶμα τοῦ δηχθέντος ἄνωθεν τείνεται περὶ τὰ κάτω. καὶ τὰ ἑαυτοῦ αἰδοῖα διορθοῖ. καὶ διὰ τῶν αἰδοίων ἀναδίδωσι χολώδεις. καὶ αὐτὸς δὲ ὁ καυλὸς, τὸ σπερμαῖον δηλαδὴ μόριον, τῷ σπέρματι δι' ὑγροῦ γινόμενος, διὰ τὸ ἀκουσίως ἀποσπερματίζειν καὶ γονορρυεῖν τὸν δηχθέντα. προϊάπτεται, ἀντὶ τοῦ προπίμπεται καὶ προδίδοται. καὶ οἱονεὶ σύμπιπτει καὶ εἰς τὰ ἰσχία δὲ μάλκη, ὅ ἐστι ῥῖγος ἐμπίπτουσα, κατέβαλε τοὺς δεσμοὺς τῶν μελῶν, καὶ γονάτων νεῦρα καὶ μύας. Ἀστέριον. δεύτερον φησὶ φαλάγγιον, ὃ καλεῖται ἀστέριον. ἐπὶ τῷ νώτῳ δὲ τούτου λιγνωτὰ ἤγουν λιπώδη τινα στίλβουσι. λαμπραὶ ῥάβδοι ἐν τῷ σώματι. λείπει ὁ καὶ, ἵν' ᾖ, καὶ διαυγεῖς. δήξαντος δὲ τινα, ἀΐδηλος, ἤγουν ἀπροσδόκητος φρίκη ἐπέδραμε τῷ δηχθέντι. κάρωσις δὲ καὶ ὕπνος τῇ κεφαλῇ αὐτοῦ παρακολουθεῖ. καὶ μελῶν ἀσθένεια καὶ χαύνωσις ἐπιπίπτει. Κυάνεον. τρίτον εἶδος φαλαγγίου φησὶν, ὃ καλεῖται κυάνεον. ἔστι δὲ δασὺ καὶ μετέωρον. χαλεπὸν δὲ πλῆγμα περιφέρει καὶ ὀδύνην τοῖς δακνομένοις. πεδήορον οὖν ἤγουν ὑψηλὸν, ἐκ τοῦ πέδον, μετέωρον καὶ ἐκκρεμές. λοιπὸν δὲ ἀραχνήεντα τὸν ἔμετον τοῦ δηχθέντος καλεῖ, βουλόμενος δεῖξαι, ὅτι ὁ ἔμετος ἀραχνώδης ἐστίν. ἤγουν ἔχει ὄψιν ἀραχνῶν. ἢ ὅτι λεπτός ἐστιν, ὅμοιος τῇ ἀράχνῃ. ἔστι δὲ γλίσχρος κατὰ τὴν ἀφὴν καὶ χυμώδης. ὅστις διὰ τὸ γλίσχρον κολλᾶται ἐν τῷ φάρυγγι. τὸ δὲ νὺξ περὶ κροτάφοις, τουτέστι σκοτοῦνται καὶ βαροῦνται οἱ κρόταφοι αὐτοῦ. Ἀγρώστης. τέταρτον εἶδος φαλαγγίου φησὶν, ὅπερ καλεῖται ἀγρώστης. ἔστι δὲ ὅμοιον λύκῳ, μυίας δηλαδὴ, οὕτω καλουμένῳ ὡς διὰ τῶν ἑξῆς ἐρεῖ. Μυιάων ὁ λύκος δηλαδὴ ᾧ ἀπεικάζει τὸ φαλάγγιον, ὀλετὴρ τῶν μυιῶν ἐστιν, εἶδος μυίας καὶ αὐτὸς ὤν, μέλαινα, μεγάλη, μακροσκελής. δίπους. κατὰ ἀλήθειαν δὲ, οὐ μυίας μόνον, ἀλλὰ

ἀλλὰ καὶ τὰ ἑξῆς περιφερόμενα ζῶα, φῶνας, καὶ μύωπας, καὶ τὰ λοιπὰ, ὅσα περὶ δεσμὸν τῶν ἀραχνίων αὐτοῦ περιγίνηται. ἀκμηνὸν δὲ ἤγουν μὴ ἔχον κόμματον καὶ ὀδύνην, πῆμα περιφέρει τῷ ἀνδρί. μεταμώνιον. ἤγουν μάταιον καὶ ἀδρανές. ἄλλο γε μὴν δύσδηρι, τὸ δὲ σφη-

εἰσιν ὡς οἱ λύκοι. οἱ γὰρ σφῆκες ἀναίσχυντοί εἰσιν. ἢ ὅτι γυμνωθείσης τῆς σαρκὸς ὑπὸ τῶν λύκων, ἐσθιόντων αὐτὰ, ἔτι γεννῶνται. ἡ γὰρ σάρκα τέως συνέχει αὐτά. οἱ δὲ λύκοι διασπῶσι τούς τε βόας καὶ τοὺς ἵππους, αἴτιοι τῆς μελισσῶν καὶ τῶν σφηκῶν εἰσὶ τῆς γενέσεως. Τοῦ δέ.

Μυγάων ὀλετῆρος. ὀπιπτεύει δὲ μελίσσας,
Φλῶας, μύωπάς τε, καὶ ὅσσ' ἐπὶ δεσμὸν ἵκηται.
Ἀκμηνὸν δ' ἐπὶ πῆμα φέρει μεταμώνιον ἀνδρί.
Ἄλλο γε μὴν δύσδηρι. τὸ δὲ σφηκεῖον ἔπουσι,
Πυρσὸν ἄλις σφηκὶ παναλίγκιον ὠμοβόροισι.
Ὃς δή θαρσαλέην γενεὴν ἐκμάσσεται ἵππου.
Ἵπποι γὰρ σφηκῶν γενέσεις, ταῦροι δὲ μελισσῶν.
Σκήνεσι πυθομένοισι λυκοσπάδες ἐξεγένοντο.
Τοῦ δὲ καὶ οὐτήσαντος, ἐπικρατερὸν θέει οἶδος.
Νοῦσοι τ' ἐξ ἕτεραι μετὰ γούνασιν. ἄλλοτε παλμός.
Ἄλλοτε δ' ἀδρανίη. μινύθοντα δὲ τόνδε δαμάζει.
Ἐσχάτιον κακοεργὸν, ἄγον παυστήριον ὕπνον.
Εἶδ' ἄγε μυρμήκειον, ὃ δὴ μύρμηξιν ἔικτο.
Δειρῇ μὲν πυρόεν. αἴθῃ γε μὲν εἴσατο μορφήν.
Πάντοθεν ἀστερόεν δὲ περιστιγὲς εὐρέϊ νώτῳ.
Αἰθαλέη δ' ἐπὶ πυθμὸν ἀείρεται αὐχένα κόρσῃ.

ὅταν οὖν φησι τὸ σφηκεῖον πλήξῃ τινὰ, ἄλλα τε τῷ πληχθέντι ἕπονται, καὶ δὴ καὶ παλμός. παλμὸς δέ ἐστιν, ἡ τῶν νεύρων καὶ τῆς καρδίας καὶ τῶν φλεβῶν νοσησάντων κίνησις. παλμὸς μὲν οὖν διαφόρως σώματος. σφυγμὸς δὲ καὶ δι' ἱδρῶτος. μινύθοντα δὲ λέγει, τὸν διαχθέντα. καὶ ἀσθενῶς διακείμενον. καὶ ἐλαττούμενον. ἀδρανίαν δὲ, ἡ ἀσθένεια. καὶ γίνεται περὶ τὸ μὴ δύνασθαι τι δρᾶν. Εἶ δ' ἄγε. ἕκτον εἶδος φαλαγγίου φησὶν, ὃ δὴ μυρμήκειον καλεῖται. ἔοικε γάρ φησι μύρμηκι. ἔχει δὲ τὸν μὲν τράχηλον πυρρόν. τὴν δὲ κεφαλὴν μέλαιναν. ἅμα τε καὶ τὸ σῶμα μέλαν. περιέχον μικρὰς, λευκὰς ῥανίδας ἀστέρι

κεῖον ἔπουσι. πέμπτον εἶδος φαλαγγίου φησίν, ὅπερ καλεῖται δύσδηρι. ἔοικε δὲ σφηκὶ, ὅθεν καὶ σφηκεῖον αὐτὸ καλοῦσιν. ὃς δὴ σφὴξ ἐκ τοῦ ἵππου γεννᾶται, καὶ ἐκμάσσεται τὴν θαρσαλέαν αὐτοῦ γενεὰν, ἤγουν ἐκτυποῖ καὶ ἐκφαίνει αὐτὸν κατὰ τὸ θάρσος. τοῖς σκήνεσιν οὖν φησὶν ἤγουν τοῖς σκηνώμασι καὶ σώμασι τῶν ἵππων καὶ τῶν ταύρων ἀποθνησκόντων σηπομένοις, γεννῶνται ἐκ μὲν τῶν ἵππων σφῆκες, ἐκ δὲ τῶν ταύρων μέλισσαι. λυκοσπάδες δὲ, ἤγουν, βαχεῖς καὶ ὅμοιοι λύκοις τῷ χρώματι. ἢ ὅτι ἀναιδεῖς

ὅμοιον. σώματος δὲ, μυρμήκειον καὶ μυρμηκοηρακλεωτικὸν καλεῖ. ὑπὸ δὲ τῶν ἄλλων μυρμηκοειδές. τῇ αἴθῃ μὲν οὖν, ἤγουν τῇ ἀπὸ σήψεως μελανίᾳ τοῦ μύρμηκος ἢ ξηρασίᾳ. ὁμοιοῦνται κατὰ τὴν μορφήν. Δημήτριος μὲν οὖν αἴθην, τὴν ξηρασίαν φησίν. ἀντίγονος δὲ ἐναντιούμενος φησὶν, αἴθην τὴν περὶ χροιὰν τοῦ σώματος καὶ μελανίαν. καὶ παρ' ὁμήρῳ δὲ ἔνιοι ἀκούουσι πεπλασμένον αἴθῃ, ἀντὶ τοῦ κεχρωσμένον ὑπὸ μελανίας. αἰθαλέῃ δὲ, ἤγουν τεφρώδης. ὁ δὲ νοῦς, οὕτως. μέλαινα δὲ καὶ τεφρώδης ὀλίγον

φαίνεται ἡ κεφαλὴ αὐτοῦ διὰ τὸ βραχύτατον αὐτοῦ. ὃ ἀείρεται, οἱονεὶ ὑπαίρεται καὶ ὑπερέχει.

Ἄλγεα. τὰς ἀλγηδόνας φησίν. ἴσας παρέχει τοῖς προτέροις θηρίοις. ἤγουν τοῖς φαλαγγίοις δὶς προεῖπε. χειροδρόποι. ἤγουν οἱ ταῖς χερσὶ δρέποντες, ἤγουν θερίζοντες ἄνευ δρεπάνου.

λοῦσιν. ἡ φάλαινά ἐστιν, ἡ παρ' ἡμῖν ψυχή. αὐτῇ οὖν τῇ ψυχῇ ἐμφερῆ φησι τὸν κρανοκολάπτην. Σώστρατος δέ φησιν ἐν τῷ περὶ βλητῶν ἢ δακέτων, ὅτι ἐάν τις λαβὼν κρανοκολάπτην ἐλαίῳ ἀποπνίξῃ, ἀλεξίκακον γίνεται. φάλαινα δὲ, ῥοδίων ἐστὶν ὄνομα. οὕτω γὰρ ἀν-

ἐν δὲ τοῖς τόποις τούτοις τῶν ὀσπρίων φησὶ τὸ εἶδος τῶν φαλαγγίων εὑρίσκεσθαι. λέγεται δὲ ὅμοιον εἶναι κανθάροις πυρόν. περὶ δὲ τὸ δῆγμα τούτου φλύκταιναι ἐπανίστανται. τὸ μὲν οὖν ὄσπρια, χέδροπά τ' ἄλλα, ὅμοιον τῷ, ἑρπυστάς τε ἰχθύας τε, ἀπὸ γενικοῦ εἰς εἰδικόν. μεσοχλόου δὲ, τῆς μήτε λίαν σκληρᾶς, μήτε λίαν ἁπαλῆς. ἀλλ' ἔτι ἐγχλόου οὔσης. τότε γὰρ θερίζουσι τὰ ὄσπρια, πρὶν ξηρανθῶσι τελείως. δίενται δὲ, ἀντὶ τοῦ διάγουσιν, ἐν τοῖς κυάμοις εὑρισκόμενα.

Ἄλγεα δὲ προτέροισιν ἶσα κνώπεσσι πελάζει.
Χειροδρόποι δ' ἵνα φῶτες ἄτερ δρεπάνοιο λέγοντες
Ὄσπρια χέδροπά τ' ἄλλα μεσοχλόου ἐντὸς ἀρούρης,
Ἐνθάδ' ἐπασσύτερα φλογερῇ εἰλυμένα χροιῇ
Ἴκελα κανθαρίδεσσι φαλάγγια τυτθὰ δίενται.
Τοῦ μὲν, ὁμῶς ἔμμοχθον ἀεὶ περὶ δῆγμα χέονται
Φλύκταιναι. κραδίη δὲ παραπλάζουσα μέμηνε.
Γλῶσσα δ' ἄτακτα λέλακε. παρέστραπται δὲ καὶ ὄσσε.
Φράζεο δ' αἰγύπτοιο, τά τε τρέφει οὐλοὸς αἶα
Κνώδαλα. φαλαίνῃ ἐναλίγκια τὴν περὶ λύχνους
Ἀκρόνυχος δειπνηστὸς ἀπήλασε παιφάσσουσαν.
Στεγνὰ δέ οἱ πτερὰ καὶ οὐκ ἔγχλοα τοῖα κονίλης.

ἢ διαιροῦντες. ἢ στοιχίζοντες καὶ νέμοντες. καὶ τὰ ἄτακτα δὲ, ἤγουν ἄσημα ἡ γλῶσσα φθέγγεται, λήθουσα καὶ παραφρονοῦσα. καὶ τὸ ἀνέστραπται δὲ ἤγουν τὸ νεκρὸν παραβέβληται. διάστροφοι γὰρ τοῦ πληγέντος οἱ ὀφθαλμοί. Φράζεο. σκόπει φησὶ καὶ τὰ ἐν τῇ αἰγύπτῳ ἑρπετά. οὐλοὸν δέ φησιν αὐτήν, διὰ τὸ εὖ περὶ τὸν ἀέρα εἶναι. ὡς τό, οὖλέ τε καὶ μέγα χαῖρε. ἢ διὰ τὸ τὰ τικτόμενα ἐκεῖ ἑρπετὰ καὶ θηρία ὀλέθρια εἶναι. κνώδαλα δὲ τὰ μικρὰ ζῶα ἐνταῦθα λέγει. φαλαίνας δὲ τὰς ἀκρίδας, τὰς εἰωθυίας φαίνεσθαι περὶ τὰς ἀφὰς τῶν λύχνων. οἱ μὲν οὖν περὶ ἀρίσταρχον τὰ κνώδαλα κυρίως ἐπὶ τῶν θαλασσίων τάττουσιν. ὅμηρος δὲ ἐπὶ τῶν χερσαίων. ὁ δὲ Νίκανδρος νῦν ἐπὶ τῶν πτηνῶν. τὸ δὲ ζῷον καλεῖται κρανοκολάπτης. φαλαίνῃ δέ ἐστιν ὅμοιον, ἣν φάλαιναν, νῦν ψώραν κα-

τοῖς τὰ περὶ τοὺς λύχνους πετόμενα θηρία καλοῦσι. παιφάσσουσαν δὲ, ἤγουν ὁρμῶσαν καὶ πολλῷ ταράχῳ κινουμένην. ἀκρόνυχος δὲ, ἤγουν ἑσπερινός. δειπνηστὸς δὲ, ἤγουν δεῖπνος. τὸ στεγνὰ δέ οἱ πτερά, ἀντὶ τοῦ ὑμενώδη ὡς τῶν ἀκρίδων. οὐκ ἔγχλοα δὲ, αὐχμηρὰ γάρ εἰσι, καὶ ἐπάγει. τοῖα κονίλης. ἡ γὰρ κονίλη, βοτάνη ἐστὶ ξηρότατα ἔχουσα τὰ φύλλα. καὶ ἔτι μᾶλλον παρεικάζων, φησίν. Ἢ καὶ ἀπὸ σποδειοῖο, ἤγουν ἀπὸ σποδοῦ. δηλαδὴ σποδώδη τὰ πτερὰ φαίνεται, ἤν τις αὐτῶν ἅψηται. τοῦτο γὰρ τὸ ἐπαύρῃ. τῷ γὰρ ὄντι σποδώδη εἰσὶ τὰ πτερὰ τοῦ κανδυλοσβίσου, ταυτὸν δὲ εἶπεν τῆς νῦν ψώρας εἴτ' οὖν φαλαίνης καλουμένης. ἢ σποδοῦ χροιὰν ἔχει τὰ πτερά, οἵαν οἱ ἀπὸ κόνεως μεμολυσμένοι ἔχουσιν. Τῷ, ἴκελος. τούτῳ οὖν φησι τῷ ζώῳ τῇ φαλαίνῃ ὅμοιός ἐστιν ὁ κρανοκολάπτης.

κολάπτης, ὃ καὶ κεφαλοκρούστης καλούμενος. ὃς ἐν τοῖς φύλλοις τῆς περσείας τρέφεται. καὶ τὰ πτερὰ ἔχει ὅμοια ταῖς ἐν ταῖς κίσσαις ψυχαῖς. ἱστέον δὲ, ὅτι Σώστρατος ἐν τῷ περὶ βλητῶν καὶ δακέτων, τὴν περσείαν ἣν ῥοδακινίαν καλοῦσι, φησὶν ἀπὸ αἰθιοπίας εἰς αἴγυπτον μεταφυ-

λῇ τοῦ ἀνδρὸς ἀπεμάξατο καὶ προσέβαλεν. Εἰ δ' ἄγε. ἐνταῦθα κοινῶς διαλέγεται περὶ τῶν κατ' εἶδος σκορπίων. καί φησι. τούτων, ἤγουν τῶν ῥηθησομένων σκορπίων, ὁ μὲν πρῶτος λευκὸς κατὰ τὸ εἶδος. ἀβλαβὴς δὲ ὤν. Πυρσός. ὁ ἕτερος δὲ πυρσὸς κατὰ τὰς γένυς. καὶ

Η καὶ ἀπὸ πλήγοιο, φαείνεται, ὅς τις ἐπαύρῃ.
Τῷ ἴκελος περσεῖος ὑπὸ τρέφεται πετάλοισι.
Τοῦ καὶ σμερδαλέοιο νέου κάρη αἰὲν ὑπὸ ῥάξ
Εσκληκός. νηδὺς δὲ βαρύνεται. αὐτὰρ ὁ κέντρῳ
Αὐχένι τ' ἀκροτάτῳ κεφαλῇ τ' ἐνεμάξατο φωτός.
Ρεῖα δέ κεν θανάτοιο καὶ αὐτίκα μοῖραν ἐφείη.
Εἰ δ' ἄγε καὶ κέντρῳ κεκορυθμένον ἀλγινόεντι
Σκορπίον αὐδήσω. καὶ ἀκέα τοῖο γενέθλης.
Τῶν, ἤτοι λευκὸς μὲν ἀκήριος οὐδ' ἐπιλωβής,
Πυρσὸς δ' αὖ γενύεσσι, θοὸν προσεμάξατο καῦσον
Ανδράσιν αἰθαλόεντα. παραπαίουσι δὲ λώβῃ
Οἷα περίκληντοι. κραιπνὸν δ' ἐπὶ δίψος ὀρώρει.
Αὐτὰρ ὅτε ζοφόεις ἄραδον κακὸν ὤπασε τύψας
Ανδρί. παραπλῆγες δὲ καὶ ἄφρασοι γελόωσιν.
Αλλος δὲ χλοάων τε, καὶ ὁππότε γυῖον ἀράξῃ,

σώματα δὲ τοῖς πληγεῖσιν ἐπάγει. οἱ δὲ, παραπαίρουσι, ψυχοῤῥαγοῦσιν, ἀσυνετῶς κινοῦνται, ἐν τῇ λώβῃ, ἤγουν τῷ πάθει, καὶ ὥσπερ οἱ πυρὶ τῷ συνεχόμενοι. τὸ δὲ παραπαίρουσι, γράφεται καὶ παραπλάζονται. κραιπνὸν δὲ δίψος, ἀντὶ τοῦ, μεγάλην δίψαν ἤγειρεν ἐπ' αὐτούς. σημείωσαι δὲ, τὸ δίψος οὐδετέρως. Αὐτὰρ ὅτε ζοφόεις. ἕτερος δέ φησι, ζοφερὸς μὲν, τὸ εἶδος ἐστίν. ἄραδον δὲ κακὸν, ἤγουν κακὴν κίνησιν τῷ δηχθέντι ἐπήγαγεν. ἄραδος γὰρ λέγεται κίνησις σώματος μετὰ γυμνασίας καὶ ἀλγηδόνος. οἱ δὲ πληγέντες ὑπ' αὐτοῦ μεμήνασι. καὶ ἀθυμαίνοντες τελευτῶσιν, ὥσπερ

τευθῆναι. βῶλος δὲ ὁ Δημοκρίτειος ἐν τῷ περὶ συμπαθῶν καὶ ἀντιπαθῶν, πέρσας φησὶν ἔχοντας θανάσιμον φυτὸν, εἰς αἴγυπτον πέμψαι, ὡς ἐκ τούτων πολλῶν μελλόντων ἀναιρεθήσεσθαι. τὴν δὲ ἀγαθὴν οὖσαν, εἰς τοὐναντίον μεταβαλεῖν, τρῶσαί τε τὸ φυτὸν καρπὸν γλυκύτατον, οἷος ὁρᾶται νῦν. περσεῖος δὲ τὴν γενικὴν εἶπεν, ὡς ἀπὸ τῆς περσεὺς εὐθείας, περσέος καὶ περσεῖος αἰολικῶς, ἀρσενικῶς κλίνας, ὡς βασιλεὺς βασιλέος καὶ βασιλεῖος. Αὐχένι. τὸ κέντρον φησὶν ὑπὲρ τῆς κεφαλῆς ἔχει, καὶ τῷ αὐχένι κρύπτει. ὃ τὸ κέντρον φησὶν, ἐν τῷ αὐχένι καὶ τῇ κεφα

παραπαίροντες πελίθουσιν, ὡς ἔν τισιν εὕρηται, γράφεται. εἰ δὲ, ἄφρασοι γελῶσιν, εἴη ἂν ἀντὶ τοῦ ἀλογίστως καὶ ματαίως γελῶσιν. Ἄλλος δὲ χλοάων. ἄλλος φησὶ χλωρός ἐστι. καὶ ἐπειδὰν τύψῃ, ῥῖγος ἐπάγει τοῖς δηχθεῖσιν, οὕτως, ὥστε καὶ τοῦ ἡλίου σφοδρότατα ἀλεαίνοντος, αὐτοὺς νομίζειν ἐπὶ χαλάζαις ἵστασθαι. τὸ δὲ ἐννεάδεσμοι, τουτέστιν ἐννέα ἁρμογαῖς ἤγουν δεσμοῖς καὶ ἁρμοῖς οἱ σφόνδυλοι συνεχόμενοι. ὁ ἐννεάδεσμοι ἤγουν πολύδεσμοι. οὐ γὰρ πλείους τῶν ἑπτὰ ἔχων ὁρᾶται. καὶ εἰ οὕτως, δεῖ τὸ ἐννεάδεσμοι ἀκούειν ὑπερρηματικῶς. τὸ γὰρ ἐν

νία ὑπὲρ πλήθους τέτακται, ὡς ἄλλοθι ὁ Νίκανδρος μέμνηται, τὸν δύο κέντρα ἔχοντα. ἐννεάσπονδον εἰπών. οὔτε οὖν διὰ τὸ ἐννέα δεσμοὺς ἔχειν, ὡς φησὶν Ἀντίγονος, τὸ ἐννεάδεσμοι εἶπεν, οὔτε διὰ τὸ ἐννέα σπονδύλους, ὡς φησὶ Δημήτριος. ἤ καὶ σπονδύλους ὁ σκορπίος οὐ πλείους ἔχων τῶν ἑπτὰ ὁρᾶται. ἀλλὰ καὶ ἀντὶ τῶν σπανίους, καθά φησιν Ἀπολλόδωρος. ἴσως οὖν λέγει καὶ ἐνταῦθα τοὺς δύο κέντρα ἔχοντας σκορπίους. Ἄλλος δ' ἐμπέλιος. ἐμπέλιος, ὁ πελιδνός, ἢ ὁ ὠχρὸς λεγόμενος. ἔχει δὲ οὗτος μεγάλην γαστέρα. βοσκάδα καὶ τὴν γαστέρα λέγει. Ἰστέον ὅτι τὰ ἀνωτέρω δύο εἴδη τῶν σκορπίων, τό, τε λευκὸν καὶ τὸ πυρὸν, τινὲς ἀντὶ ἑνὸς λαμβάνουσι, καὶ τὸ αἰθέριος οὕτω νοοῦσιν, ὡς οὐ θανατηφόρος μέν ἐστι. καύσωνα δὲ ὅμως καὶ ὅσα ἄλλα φησὶν, ἐπάγει τοῖς δηχθεῖσιν ὑπ' αὐτοῦ. Αητος. ἤγουν ἀπληστός ἐστι. διὸ καὶ μεγάλην ἔχει αὐτὴν ἤτοι τὴν γαστέρα. καὶ ὅμηρος. ἄατος πολέμοιο. τὸ δὲ, βουβῶσι τυπὴν, ἢ ὅτι τοῖς πληγεῖσιν οἰδήσεις βουβώνων ἐμποιεῖ. ἢ ὅτι διαλανθάνων ὑπὸ τὰ ἱμάτια ἔρχεται, καὶ τὸν βουβῶνα τύπτει. βούβρωσις δὲ, κυρίως ἡ τροφὴ, νῦν δὲ, ἡ ἀνία καὶ ὁ ἰός. ἐνδεικτικὸν δὲ τοῦ σφοδροῦ δήγματος τὸ βούβρωσις. ὡσανεὶ λέγει, τοιαύτη αἰτία, μεγάλη δηλαδὴ ἀνία τοῖς γόνασιν ἐνέσκληκεν, ἤγουν ἐξήρανται ἢ ἐστέρηται. Τὸν δ' ἕτερον. ὁ ἕτερος φησὶν, ὅμοιός ἐστι τῷ αἰγιαλεῖ καρκίνῳ. αἰγιαλῆϊ γοῦν, ἤγουν οὐ πεζαίῳ, οὐ πελαγίῳ. οὐ λιμναίῳ, οὐ ποταμίῳ. ἀλλ' αἰγιαλεῖ. τῶν καὶ καρκίνων, οἱ μὲν, θαλάσσιοι εἰσὶν, οἱ δὲ ποτάμιοι. νῦν δὲ τοὺς θαλασσίους λέγει. καὶ τούτων τοὺς αἰγιαλεῖς. αἰγιαλὸς καὶ ἡ ἀκτὴ τῆς θαλάσσης λέγεται. Ἄλλοι δ' αὖ. ἄλλοι δέ φησιν. ὅμοιοί εἰσι τοῖς ῥαιβοῖς παγούροις. ῥαιβοῖσιν οὖν, ἤγουν τοῖς καμπύλοις. σκαμβοῖς. πλαγίως περιπατοῦσιν. ἰστέον δὲ, ὅτι ὁ ἄρρην σκορπίος ἀεὶ κατάστικτον ἔχει τὴν κοιλίαν. καὶ τὰς χηλάς.

Φρῖκας ὑπὸ προΐησι. κακὴ δ' ἐπὶ τοῖσι χάλαζα
Εἴδεται ἐμπλάζουσα, καὶ εἰ μέγα σείριος ἄζει.
Τοίη οἱ κέντροιο κόπις. τριῶ δ' ἐπὶ κέντρῳ
Σφόνδυλοι ἐννεάδεσμοι ὑπερτείρουσι καραίης.
Ἄλλος δ' ἐμπέλιος. φορέει δέ τε βοσκάδα νηδὺν
Εὐρεῖαν. δὴ γάρ τε ποηφάγος αἰὲν ἄητος
Γειοφάγος, βουβῶσι τυπὴν ἀλίαστον ἰάπτει.
Τοίη οἱ βούβρωστις ἐνέσκληκε γυίεσσι
Τὸν δ' ἕτερον δ' εἴσῃς ἐναλίγκιον αἰγιαλῆϊ
Καρκίνῳ. ὃς μνία λευκὰ ῥόθον τ' ἐπιβόσκεται ἅλμης.
Ἄλλοι δ' αὖ ῥαιβοῖσιν ἰσήρεες ἄντα παγούροις
Γυῖα βαρύνονται. βοσκαὶ δ' ἐσκλήκασι χηλαί.

καὶ τὸ κέντρον. παντὸς δὲ σκορπίου τὸ κέντρον τετρημένον ἐστὶν, ἔχον διπλόην τινὰ δυσθεώρητον διὰ λεπτότητα. δι' ἧς τὸν ἰοβόλον ἰχῶρα προΐησιν. ἐν τοῖς σιάλοις ἄνθρωπος φαινόμενος, ἀσθενὴς καὶ ναρκώδης γίνεται. τίκτονται δὲ οἱ σκορπίοι οὐ μόνον ἐξ ἀλλήλων, ἀλλὰ καὶ ἀπὸ σεσημμένων ξύλων καὶ παγούρων. Βορεαί. αἱ χηλαὶ δὲ τῶν σκορπίων, ἃς βορεὰς καλεῖ, οἱονεὶ πολυφάγους, ἐξήρανται. ὥσπερ καὶ τῶν πεζαίων παγούρων, τῶν ἀγριωμένων, καὶ φοβουμένων. ἀφ' ὧν δὴ παγούρων καὶ τὴν γένεσιν ἔχουσιν οἱ σκορπίοι. πάγουροι δὲ λέγονται, παρὰ τὸ ἐν τοῖς πάγοις ὀρούειν καὶ ὁρμᾶν. ἢ παρὰ τὸ τοὺς πάγους ὁρᾶν καὶ φυλάττειν. πάγοι δέ εἰσιν οἱ τραχεῖς καὶ δύσβατοι τόποι. τὸ δὲ ἔμμορον. ἤγουν ἔλαχον. ἔτυχον. φασὶ καὶ ὅτι ὁ πάγουρος ἐπὰν ἀγρευθῇ παρὰ τῶν ἁλιέων, εἰ δυνη

ὅτι ἀποδράσαι καὶ εἰσελθεῖν εἰς γωλεὸν, ἀποθνήσκει ἐκεῖ δηλονότι. καὶ ἐκ τοῦ σκήνους αὐτοῦ γίνονται οἱ σκορπίοι δυσί. τὸ δὲ, πολυρροίζοιο θαλάσσης, γράφεται καὶ πολυφλοίσβοιο. καὶ πολυσίβοιο, ἤγουν πολυψόφου. καὶ πολυτρόφου. ἰχθυβολῆες δὲ οἱ ἁλιεῖς. καὶ δελαστρέες. οἱ δὲ

Οἷά τε πετραίοισιν ἐπ' ὀκριόωσι παγούροις.
Τῶν δή τοι γενεὴν διζέμμορον. εὖτε λίπωσι
Πέτρας τε βρύα λεπτὰ πολυρροίζοιο θαλάσσης.
Τοὺς, ἁλὸς ἐξερύουσι δελαστρέες ἰχθυβολῆες.
Αὐτίκα δ' ἀγρευθέντες, ἐνὶ γρώνῃσιν ἔδυσαν
Μυοδόκοις. ἵνα τέκνα κακόφθορα τῇδε θανόντων
Σκορπίοι ἐξεγένοντο καθ' ἕρκεα λωβητῆρες.
Τὸν δὲ, μελίχλωρον. τοῦ δ' ἂρ προμελαίνεται ἄκρη
Σφόνδυλος. ἄσβεστον δὲ νέμει πολυκήριον ἄτην.
Ἔχθιστος δ' ὅ γε ξουθὰ φέρει φλογὶ εἴκελα γυῖα
Ἀνδράσι. νηπιάχοις δὲ παραχρέδον ὤρεσεν αἶσαν.
Οἵ γε δή τοι νώτοισι περὶ πτερὰ πυκνὰ χέοντες,
Μάσακι σιτοφάγῳ ἐναλίγκια. τοί θ' ὑπὲρ ἄκρων
Ἰπτάμενοι ἀθέρων, λεπυρὸν στάχυν ἐκβόσκοντες,
Πήδασα τοι κισσοῖο κατὰ πτύχας ἐμβατέοντες.
Οἶδα γε μὴν φράσσασθαι ἀλέξια τοῖσι βολάων

λιάζοντες τοὺς ἰχθῦς. γρώναις δὲ μυοδόκοις, ταῖς τῶν μυῶν γωλεαῖς. τέκνα δὲ κακόφθορα, εἰ μὲν τῶν μυῶν, τὰ κακῶς φθειρόμενα, καὶ τὰ διὰ κακῇ φθορᾷ τεχθέντα. εἰ δὲ τοὺς σκορπίους λέγει, τοὺς κακῶς φθείροντας σημαίνοι ἄν. καὶ ἕρκεα δὲ, τὰς γωλεὰς λέγει τῶν μυῶν. Τὸν δὲ, μελίχλωρον. ἄλλος δέ ἐστι σκορπίος οὕτω καλούμενος, διὰ τὸ μελιτόχρους εἶναι. ἤγουν κηρώδης. φλογώδης. οὗ τινος τὸ ἄκρον τοῦ σφονδύλου μέλαν ἐστί. θηλυκῶς δὲ εἶπεν ἡ σφόνδυλος. Ἔχθιστος. καὶ γὰρ τῷ ὄντι ἔχθιστός

ἐστι τοῖς ἀνδράσιν, εἰ βλάψει τινὰ αὐτῶν. διὰ γὰρ πολὺν χρόνον ἔχουσι τὰς ἀλγηδόνας. τῶν δὲ παίδων ἐὰν προσέλθῃ τινὶ, θάνατον εὐθὺς ἐπάγει. αὐτοῖς δὲ τοῖς σκορπίοις περὶ τὰ νῶτα πτερὰ λευκὰ χέονται. μάσακι σιτοφάγῳ ἤγουν ἀκρίδι σιτοφάγῳ ὅμοια. αἵ τινες ἀκρίδες ὑπὲρ τῶν ἄκρων ἀθέρων τοῦ σίτου ἱπτάμεναι, τὸν λεπυρὸν ἤγουν λεπυριζόμενον) στάχυν βόσκονται. ῥαιβὰ μὲν οὖν, ἤγουν σκαμβὰ καὶ στρεβλά. γυῖα δὲ νῦν τοὺς πόδας. βούλεται γὰρ δηλοῦν, ὅτι στρεβλῶς περιπατοῦσιν οἱ σκορπίοι. τὸ δὲ εἴκελα φλογί φησι, διὰ τὰς ἐπαγομένας ἀλγηδόνας ἐκ τούτων τοῖς δηχθεῖσιν. Πήδασα, ἢ τὰ πηγάζοντα χωρία φησὶν, ἢ τὰ ὀρεινά. Πήδασος γὰρ τὸ ὄρος. κατὰ ζύζους δὴ τοὺς τόπους φιλοῦσι διάγειν αἱ ἀκρίδες, ἔνθα καὶ αἱ πτύχες τοῦ κισσοῦ εἰσιν, ἀντὶ τοῦ ὁ κισσὸς περιφραστικῶς. Οἶδα γε μήν. ἐπαγγέλλεται εἰπεῖν ἀλεξιτήρια φάρμακα πρός τε τῶν σκορπίων καὶ τῶν ἄλλων δακόντων πληγὴν, καθ' ὁμοιότητα ταῖς βέμβιξι καὶ ταῖς μελίσσαις. εἰκότως δὲ μέτεισιν ἐπὶ τὰ κέντρῳ ἀμυνόμενα ζῶα. τοιαῦτα γάρ εἰσι καὶ τῶν σκορπίων τὰ τύμματα, διὰ τῶν βεμβίκων καὶ μελισσῶν. βέμβιξ δέ ἐστι ζῶον σκνιφώδες, μέλαν κατὰ τὴν χροιάν. κέντρῳ χρώμενον ὡς οἱ σφῆκες. μνημονεύει δὲ καὶ Παρμένων αὐτοῦ ἐν τοῖς ἰάμβοις. τῶν δὲ μελισσῶν μόνος ὁ ἄρρην κέντρον ἔχει. ἔστι δὲ ὅμοιον τῷ σφηκί. ἡ δὲ πεμφρηδὼν καὶ αὐτὴ ζῶόν ἐστι παραπλήσιον) μελίσσῃ. καὶ ὁ ἴουλος δὲ, εἶδος σφηκὸς, ἢ σκώλη-

καὶ τὸ καλούμενον μυριόπολος. Τοῖσι βολαίων. ἤγουν τούτοις τοῖς βλαπτομένοις ὑπὸ τῶν βολαίων καὶ δηγμάτων, οἶδα εἰπεῖν ἀλέξια καὶ ἰάματα τοιαῦτα, διά περ εἰσὶ καὶ ὑπὸ τοῦ βέμβικος τοῦ ὀρεστέρου καὶ τῆς μελίσσης. ὀρέστερον δὲ νῦν εἶπε τὸν ἄῤῥενα καὶ πλήττοντα τῷ κέντρῳ καὶ ἰοβόλον. εἰσὶ γὰρ καὶ θηλυκαὶ βέμβικες. ἐμμαπέουσαν δέ φησι τὴν μέλισσαν, ἤγουν ἐνεργοῦσαν κατὰ τὸ βάθος καὶ σφοδρῶς πλήττουσαν. Ἀμφικαρὴς δὲ, ἤγουν δικέφαλος. ψευδῶς δέ φησιν. οὐ γάρ ἐστιν. ἀλλ' ὡς Ἀριστοτέλης φησὶν, εἰς τοὐπίσω πολλάκις ἕρπει. καὶ παρέχει δόξαν τοῦ δικέφαλος εἶναι. Νήϊα θ' ὥς. ὥσπερ ἐστὶν, ὥσπερ νήϊα περὶ τὴν ναῦν, ἤγουν αἱ κῶπαι, ἀπέρχονται καὶ ἐλαύνονται, οὕτως αἱ δύο κεφαλαὶ τῆς σκολοπένδρας κινοῦνται. ἴσως δὲ καὶ διὰ τὸ πολύποδον, ὡς ναῦν εἶπεν αὐτὴν ἐλαυνομένην. Τυφλήν τε οἶδα. δηλονότι κατὰ κοινοῦ. καὶ τὴν τυφλὴν καὶ ἐκπληκτικὴν μυγαλῆν τὴν θάνατον ἄγουσαν τοῖς ἀνθρώποις. ἥτις καὶ ἐν

Οἶά τε δὴ ἐκ βέμβικος ὀρεστέρου ἠὲ μελίσσης.
Ἥ τε καὶ ἐκ κέντρου θάνατος πέλει, εὖτε χαράξῃ
Ἄνδρα πέριξ σίμβλοισι πονεύμενον ἠὲ καὶ ἀγροῖς.
κέντρον ἐπεὶ πληγῇ τῇ ἐγκάλλιπεν ἐμμαπέουσα.
κέντρον δ' ἢ ζωήν τε φέρει θανατόν τε μελίσσης.
Οἶδά γε μὴν καὶ ἴουλος ἃ μήδεται ἠδ' ὀλοὸς σφὴξ,
Πεμφρηδών ὀλίγη τε, καὶ ἀμφικαρὴς σκολόπενδρα.
Ἥ τε καὶ ἀμφοτέρωθεν ὀπάζεται ἀνδράσι κῆρα.
Νήϊα δ' ὡς ἀπέρχονται ὑπὸ πτερὰ θηρὶ κιούσῃ.
Τυφλήν τε σμερδνήν τε βροτοῖς ἐπὶ λοιγὸν ἄγουσαν
Μυγαλέην τροχοῖσιν ἐνὶ θνήσκουσαν ἁμάξης.
Σῆπα γε μὴν πεδανοῖσιν ὁμὴν σαύροισιν ἀλύξεις.
Καὶ σαλαμάνδρειον δόλιον δάκος αἰὲν ἀπεχθές.
Ἥ τε καὶ ἀσβέστοιο δι' ἐκ πυρὸς οἶμον ἔχουσα,
Ἔρχεται ἄκμηνος καὶ ἀνώδυνος, οὐδέ ἑ οἱ φλὸξ
Σίνεται ἀσβέστη ῥαγόεν δέρος ἄκρα τε γυίων.

ταῖς τροχιαῖς, ἤγουν παρὰ τοὺς τροχοὺς διὰ τὸ μὴ ὁρᾶν ἐμπίπτουσα, ἀναιρεῖται ἐκεῖ. Ἀμύντας δέ φησι τὴν μυγαλῆν ἐκ μυὸς καὶ γαλῆς εἶναι. ἧς τὸ δῆγμα χαλεπόν ἐστιν ὅταν δάκῃ. Σῆπα. λείπει τὸ, ὁμοίαν. τουτέστι τὴν σῆπα τὴν τοῖς πεδανοῖς σαύροις κατὰ τὴν δομὴν ἤγουν τὸ σῶμα ὁμοίαν, ἀλύξεις. ἡ δὲ σὴψ ὁμοία ἐστὶ τῇ σαύρᾳ. καλεῖται δὲ καὶ χαλκίς. ἔχει γὰρ ὑπὸ τοῦ νώτου χαλκιζούσας ῥάβδους. ἔστι δὲ ὀκτὼ παλαιστῶν. σὴψ δὲ καλεῖται, παρὰ τὸ σήπειν τὴν πληγεῖσαν. γίνεται δὲ ἐν Συρίᾳ καὶ Λιβύῃ καὶ Κύπρῳ. καὶ διατρίβει ἐν πέτραις. Σαλαμάνδρειον. ἱστορεῖται καὶ ταύτην διὰ πυρὸς πορεύεσθαι καὶ μὴ βλάπτεσθαι. τὰ δὲ ἔντερα αὐτῆς ψιλοῖ τὰς τρίχας. ἔστι δὲ τὸ ζῷον ὅμοιον σαύρᾳ τετράπουν. βραχύκερκον. ἄκμηνος δὲ, ἤγουν μὴ κάμνουσα, μὴ φλεγομένη, ἐκτὸς καμάτου, ἢ ἄγευστος καὶ ἀπαθὴς τοῦ πυρός. οἱ δὲ, οὕτω τὰ περὶ τῆς σαλαμάνδρας φασίν. ὡς ἔστι ζῷον τετράπουν. μήτε δέρμα μήτε λεπίδας ἔχον, βραχὺ δὲ ὂν ὡς ἡ σαύρα. ἔοικε δὲ τῷ χερσαίῳ κροκοδείλῳ. ψυχρὸν δὲ φύσει ὑπάρχον, ἐὰν εἰς κάμινον ἐμπέσῃ, τὸ μὲν πῦρ σβέννυσιν, αὐτὸ δὲ μένει ἄφλεκτον. ῥαγόεν δὲ δέρος φησὶ, τὸ διεῤῥωγός. διέῤῥηκται γὰρ τὸ δέρμα τῆς σαλαμάνδρας, δι' ὧν ῥαγάδων ὁ ἱδρὼς αὐτῆς καταστάζων, τὸ πῦρ κατασβέννυσιν. ἄκρα δὲ γυίων, τὰ κῶλα τῶν γονάτων δηλοῖ.

Ναὶ μὴν ἠδ' ὅσα πόντος ἁλὸς ῥοθίοισιν ἑλίσσει,
Μυραίνης δ' ἔκπαγλον, ἐπεὶ μογεροὺς ἁλιῆας
Πολλάκις ἐμβρύξασα, κατεπρήνιξεν ἐπάκτρων,
Εἰς ἅλα φυζηθέντας, ἐχετλίου ἐξαναδῦσα.
Εἰ δ' ἔτυμον, κείνην γε σὺν ἰοβόλοις ἐχίεσσι
Θόρνυσθαι προλιποῦσαν ἁλὸς νομὸν ἠπείροισι.
Τρυγόνα μὴν ὀλοεργὸν ἁλιρραιστήν τε δράκοντα
Οἶδ' ἀπαλέξασθαι. φορέει γε μὲν ἄλγεα τρυγὼν,
Ἦμος ἐν ὁλκαίοισι λίνοις μεμογηκότα κέντρῳ
Ἐργοπόνον τύψῃσ', ἢ ἐν πρέμνοισι παγείη
Δενδρείου, τό γε πολλὸν ἀγαυρότερον τελέθησι.
Τοῦ μὲν, ὑπὸ πληγῇσιν ἅτ' ἠελίοιο δαμέντος
Ῥίζαι. σὺν δέ τε φυλλὰς ἀποφθίνει, ἀνδρὶ δὲ σάρκες
Πυθόμεναι μινύθουσι· λόγος γε μὲν ὥς ποτ' Ὀδυσσεὺς
Ἔφθιτο, λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.
Οἷσιν ἐγὼ τὰ ἕκαστα διείσομαι ἄρκια νούσων.

Ναὶ μὴν, ἀλλὰ καὶ, ὅσα φησὶν ἡ θάλασσα τοῖς ἑαυτῆς ῥοθίοις ἤγουν κύμασιν ἑλίσσει, οἶδα ἀπὸ κοινοῦ. ἔστι δὲ τὸ, πόντος ἁλὸς, περίφρασις. βούλεται οὖν διαλεχθῆναι καὶ περὶ τῶν θαλασσίων. Μυραίνης. Ἀρχέλαος ἐν τοῖς ἰδιοφυέσι φησὶ, τὰς μυραίνας τοῖς ἔχεσι μίγνυσθαι προσιούσας εἰς γῆν. ἔχει δὲ ὀδόντας ὁμοίους ἔχεσι. φησὶ δὲ ὁ Ἀνδρέας ψευδῆς εἶναι, καὶ μήτε τὴν μύραιναν προϊέναι, μήτε τὸν ἔχιν παρέναλον διατρίβειν. τὸ οὖν κατεπρήνιξεν, ἀντὶ τοῦ εἰς τὴν θάλασσαν πρηνεῖς ἔρριψεν, ἐμβρύξασα, ἤγουν δακοῦσα τοὺς ἁλιεῖς. ἐπάκτρων δὲ, τῶν ἁλιευτικῶν πλοίων. ἐπακτῆρες γὰρ οἱ ἁλιεῖς. τὸ δὲ εἰς ἅλα φυζηθέντας, ἀντὶ τοῦ εἰς τὴν θάλασσαν φυγόντας, ἢ τοὺς πρὸς τὴν θάλασσαν ἐπειγοῦντας, ἢ καὶ ὁρμήσαντας διὰ φόβον. ἐχέτλιον δὲ, τὸ πρὸς τοῦ πλοίου, ὅπου τοὺς ἰχθῦς τιθέασι καὶ συλλέγουσιν. ὁ δὲ ζωγρος καὶ τὸ βιβάριον, ἐχέτλιον λέγεται. ἢ καὶ οὕτω τὸ ἐν νοῦν ἐκληπτέον. πολλάκις ἐξαναδῦσα τοῦ ἐχετλίου καὶ ἐμβρύξασα, κατεπρήνιξε τοὺς ἁλιεῖς εἰς ἅλα. ἤγουν ἐπὶ πρόσωπον τοὺς ἁλιεῖς εἰς τὴν θάλασσαν ἔρριψε, φυζηθέντας, οἱονεὶ φυγόντας καὶ φεύγοντας. τοῦτο οὖν λέγει, ὅτι ὅταν φανῇ ἡ μύραινα ἐξαναδῦσα τοῦ ἐχετλίου, οἱ ἁλιεῖς φοβούμενοι, καὶ εἰς φυγὴν τρεπόμενοι, ἐπὶ πρόσωπον ἑαυτὸν ῥίπτουσιν εἰς τὴν θάλασσαν. εἰ δὲ οὕτω δεῖ νοεῖν, τὸ ἐμβρύξασα οὐκ ἂν εἴη ἀντὶ τοῦ φαγοῦσα, ἀλλ' ἀντὶ τοῦ μανεῖσα, τοὺς ἁλόντας βρύξασα, οὗ τὸ θέμα εἴη ἄν, καὶ βρύκω καὶ βρύχω. Τρυγόνα. καὶ ἡ τρυγὼν, θαλάσσιον ἐστι θηρίον φονευτικόν. διὸ καὶ ὀλοεργὸν αὐτὴν εἶπε. φέρει δὲ κακά φησιν, ὁπότε ἐν τοῖς ὁλκαίοις καὶ μακροῖς λίνοις ἤγουν δικτύοις μεμογηκότα καὶ ἀθλήσαντα τὸν ἐργοπόνον, τουτέστι τὸν ἐν τῷ ἔργῳ πονοῦντα, τύψῃ τῷ κέντρῳ. καὶ ὅταν εἰς δένδρον πρέμνον ἐμπαγῇ. καὶ γὰρ εἰ πλήξει τις δένδρον τῷ κέντρῳ αὐτῆς, καταξηρὸν αὐτὸ ἀπεργάζεται.

Ἢ ἐν πρέμνοισι. καὶ ὅταν φησὶν εἰς πρέμνον δένδρου παγῇ ξηραίνει αὐτό. καὶ γὰρ εἴ τις πλήξει πρέμνον δένδρου, ἢ στέλεχος τῷ τρυγόνος κέντρῳ, βλάβην καὶ ξηρασίαν ἐμποιεῖ τῷ φυτῷ, ὡς ὑπὸ ἡλίου δὲ κρίνεσθαι αὐτοῦ, αἱ ῥίζαι καὶ τὰ φύλλα ἀποφθίνοντα. τούτῳ δὲ τῷ κέντρῳ ἱστορῆσαί τινα λέγει, τὸν Ὀδυσσέα παγέντα τελευτῆσαι. Οἷσιν ἐγώ. λείπει ἡ

διὰ

Δὴ τότ' ἀγχούσης θριδακηΐδα λάζεο χαίτην,
Ἄλλοτε πενταπέτηλον, ὅτ' ἄνθεα φοινὰ βάτοιο,
Ἄγριον ὀξαλίδας τε καὶ ὀρμινόεντα λύκαψον,
Κίκαμά τ' ὀρσίλοφόν τε περιβρυὲς, ἠδὲ χαμηλὴν
Ῥεῖα πίτυν, φηγοῦ τε βαθὺν περὶ φλοιὸν ἀράξας,
Σὺν δ' ἄρα καυκαλίδας τε καὶ ἐκ σταφυλίνου ἀμήσας
Σπέρματα, καὶ τριμίθοιο νέον περιαυξέα καρπὸν,
Ἠέ τε τὸν φονίασον δ' ἢ καταβάλλεο φῦκος.
Ἀχραές τ' ἀδίαντον, ὃ οὐκ ὄμβροιο ῥαγέντος
Λεπταλέη πίπτουσα νοτὶς πετάλοισιν ἐφίζει.
Εἰ δ' ἄγε καὶ σμυρνεῖον ἀειβρυὲς, ἠὲ σὺ πρίης
Λευκάδος, ἠρύγγου τε τάμοις ἀθεραΐδα ῥίζαν,
Ἄμμιγα καχρυφόρῳ λιβανωτίδι, μηδ' ἀπανήνῃ
Μηδ' ἔτι πουλυβάτεια περιβρίθουσά τε μήκων
Θυλακὶς ἢ πιτηλὶς ἐπιχραίσμησιν ἀπείη
Σὺν δὲ κράδης κυέουσαν ἀποτμήξαιο κορύνην.

ἡ πρόθεσις, ἵν' ᾖ, ἐφ' οἷς τισιν ἐγὼ δείδω, τοῦτο δὲ σημαίνει τὸ δειδίσσομαι. ἄρκια νούσων, ἤγουν ἀποτρεπτικὰ καὶ βοηθητικά. Δὴ δὲ τότ' ἀγχούσης, ἡ ἄγχουσα φυτὸν θαμνῶδές ἐστιν. καὶ τὰ μετὰ ταύτην δὲ ἑξῆς κείμενα βοτανῶν ὀνόματά εἰσιν. οἷον θριδακὶς. πενταπέτηλον. βάτ(ος). ἀγρώστι(ς). ὀξαλὶς. λύκαψος. κίκαμα. ὀρσίλοφον. χαμαιπίτυς. καυκαλίδες. σταφύλινον. τρίμιθος. ἄγριον φῦκος. ἡ γοῦν θριδακὶς οὕτω καλεῖται, διὰ τὸ τὰ φύλλα ταῖς θρίδαξιν ὅμοια ἔχειν. ὃ δὴ καὶ δεῖξαι θέλων, χαίτην εἶπε. τοῦτο δ' αὐτὸ, καὶ ὀνόχειλον λέγεται. τὸ δὲ πενταπέτηλον, ἀντὶ τοῦ πεντάφυλλον. ἡ δὲ ὀξαλὶς, καὶ ὀξυλάπαθον καὶ ἀναξυρὶς καλεῖται. τὸν δὲ λύκαψον ὁρμινόεντα εἶπεν, οἱονεὶ βεβηκότα καὶ κατὰ γῆς ἐρριμμένον. ἢ τὸν ὁρμητικὸν πρὸς ὕψος. εὐαυξὴς γάρ ἐστι. καὶ καυλὸν ἔχει μακρόν. τὸ δὲ ὀρσίλοφον, σπερμάτιόν τι λαχανῶδές ἐστι. τρίμιθος δὲ, ὁ λεγόμενος τερέβινθος. οὗ τὸν καρπὸν περιαυξέα φησὶ, δηλαδὴ ποικίλον τῇ χροιᾷ. ὁ γὰρ τερέβινθος τοὺς κόκκους φέρει, διαφόρους χροιὰς καὶ εἴδη ἔχοντας. καὶ ἡ καυκαλὶς δὲ, λάχανόν ἐστιν ἁλμυρόν. μνημονεύει δὲ αὐτοῦ Χρύσιππος ἐν τῷ περὶ λαχάνων. φοινίσσον δὲ φῦκος, τὸ ξανθίζον φυκίον τῆς θαλάσσης. καταβάλλεο δὲ, ἤγουν μίγνυε. τὸ δὲ ἀχραὲς οὕτω καλεῖται, διὰ τὸ καθαρὸν καὶ ἄχραντον. ἐν ἀνύδροις δὲ τόποις φύεται. καλεῖται δὲ καλλίτριχον καὶ πολύτριχον καὶ τριχομανές. τὸ δὲ ἀδίαντον, διότι οὐ διαίνεται καὶ βρέχεται ὑπὸ ὕδατος καὶ δρόσου. τοῖς φύλλοις δὲ αὐτοῦ ῥανὶς οὐκ ἐφιζάνει, ἤγουν οὐδέποτε συμπίπτει. Εἰ δ' ἄγε καὶ σμυρνεῖον. τὸ σμυρνεῖον ὅμοιόν ἐστι τῷ μεγάλῳ σελίνῳ, ὃ δὴ καὶ ἱπποσέλινον καλεῖται. σμυρνεῖον δὲ, ἐπειδὴ ἐμφερής ἐστι τῇ σμύρνῃ κατὰ τὴν ὀσμήν. περὶ δὲ τῆς λευκάδος ἀγνοεῖται περὶ τίας φησίν. Ἀντίγονος μὲν οὖν τὴν λευκάδα σμύρνιον φησίν. Καὶ ἤρυγγος δὲ, εἶδος λαχάνου ἀκανθώδους, οὗ τὴν ῥίζαν ἀθεραΐδα φησίν. ἢ διὰ τὸ θερμὴν εἶναι, ἢ διὰ τὸ ἀθέρας ἔχειν, ἢ διὰ τὸ ψυχρὰν εἶναι. τὴν δὲ λιβανωτίδα καχρυφόρον λέγει. οἱονεὶ κάχρυς φέρουσαν. τὴν δὲ μήκωνα περιβρίθουσαν φησὶν, ἤγουν περισσῶς ἀνθοῦσαν. δύο δὲ γένη μηκώνων εἰσίν. ὧν ἡ μὲν, μεγάλα φέρει θυλάκια, ἐν οἷς τὸ σπέρμα. θυλακὶς μὲν οὖν ἡ τὰ μικρά. πιτηλὶς δὲ, ἡ τὰ μεγάλα. μὴ οὖν ἀπιστώσαν αἱ ῥυθεῖσαι

θεῖσαί φησι βοτάναι τοῦ βοηθήματος. χραίσμησι δὲ τοῖς βοηθήμασιν. ἡ εὐθεῖα, ἡ χραίσμη. τὰ δὲ τῆς κράδης κορύνην κνίουσαν εἶπεν, ἤγουν ἐμφύουσαν, κλάδους μήπω πεπληρωμένους. κράδην δὲ, τὴν ἀγρίαν συκῆν λέγει. κόκκυγας δὲ τοὺς ὀλύνθους, διὰ τὸ φαίνεσθαι κατ' ἔαρ ὃν καιρὸν αἱ χελιδόνες φύονται. τὸ δὲ δαύκειον, Ἀπολλόδωρός φησιν ὅτι [illegible] θηρίων, βοηθεῖν πρὸς τὰ εἰρημένα. τὴν δὲ βρυωνίαν ἣν καὶ βρυωνίδα ὑποκοριστικῶς εἶπε, φησὶν ἔφηλιν καὶ λεύκην, ἅπερ εἰσὶν εἴδη νόσων, καθαίρειν. ἔφηλις μὲν οὖν ἐστιν ἡ καλουμένη λέπρα. λεύκη δὲ, ἄλλο τι νόσημα ὅμοιον τῇ ἐφήλιδι. θηλυτέρης δὲ, ἤγουν γυναικός. Τὸ δὲ ἀπεμόρξατο, ἤγουν ἀπεσόδυσεν. ἐκαθάρισε. καλεῖται δέ φησιν ὁ Κρατεύας ἡ βρυωνία, ὑπὸ μὲν τινῶν σταφύλιον. ὑπὸ δὲ ἄλλων, ἄμπελος ἀγρία. ὑφ' ἑτέρων δὲ, χειρώνειον. Περιστερεῶντα. ταύτην τὴν βοτάνην Κρατεύας φησὶν ὑπ' ἐνίων περιστερεῶνα καλεῖσθαι. ἔχει δὲ τὰ φύλλα ἐσχισμένα καὶ πρασὶ περιστερᾶς παραπλήσια. Τὴν δὲ ῥάμνον ἀλεξιάρην φησὶν, οὐ μόνον ὅτι ἀγαθή ἐστιν ἀπαλλάξαι τοὺς ὑπὸ ἑρπετῶν πληγέντας τοῦ πάθους, ἀλλ' ὅτι καὶ εἰς φαντάσματα βοηθεῖ. ὅθεν καὶ πρὸ τῶν θυρῶν ἐν τοῖς ἐναγίσμασι κρεμῶσιν αὐτήν. ἔστι δὲ

Ἠ αὐτοὺς κόκκυγας ἐρινάδος, οἵ τε πρὸ ἄλλης
Γόγγυλοι ἐκφαίνουσιν ἀνοιδείοντες ὀπώρης.
Λάζεο καὶ πυράκανθαν, ἰδὲ φλόμου ἄρσενος ἄνθην,
Ἄμμιγα δ' αἰγίλωπός τε χελιδονίου τε πέτηλα,
Δαύκειον, ῥίζας τε βρυωνίδος, ἥ καὶ ἔφηλιν
Θηλυτέρης ἐχθρὴν χροιῆς ἀπεμόρξατο λεύκην.
Ἐν δὲ περιστερεῶντα καταμίξαιο πέτηλα.
Ἢ καὶ ἀλεξιάρης πτόρθους ἀπαμέργεο ῥάμνου.
Μούνη γὰρ νήστειρα βροτῶν ἀπὸ κῆρας ἐρύκει.
Ναὶ μὴν παρθενίοιο νεοδρέπτους ὀροδάμνους,
Κόρκορον, ἢ πεταλῖτιν, ἀμέργεο πολλάκι μίλτου
Λημνίδος, ἣ πάσῃσι πέλει θελκτήριον ἄτης.
Δή ποτε καὶ σικύοιο τάμοις ἐχεπευκέα ῥίζαν
Ἀγροτέρου. νηδὺν δὲ τὴν ἐμβρύθουσαν ἀνίης
Ἡμιτεκνῆρες ναὶ μὴν ἄρσενος παλιούρου
Σὺν καὶ ἀκανθοβόλος χαίτη νεαλεῖς τ' ὀρόβαγχοι.

ἅμα τοῖς κόκκυξι. καὶ ἐρινάδα δὲ τὴν ἀγρίαν συκῆν λέγει. καὶ φαίνεσθαι δὲ αὐτήν φησι πρὸ πάσης ὀπώρας. προακμάζουσι γὰρ τῆς ἄλλης ὀπώρας καὶ τῆς ἀλλ' οὐκ οἱ ὄλυνθοι. καὶ γογγύλους δὲ τοὺς ὀλύνθους φησίν, ἀντὶ τοῦ στρογγύλους. στρογγυλοειδεῖς γάρ εἰσιν. ἀνοιδείοντας δὲ ἀντὶ τοῦ ἀκμάζοντας. τοῦ δὲ φλόμου δύο εἴδη ὁ Θεόφραστος φησὶν εἶναι, ἄρρεν καὶ θῆλυ. ἅπερ Κρατεύας φησὶν ἔχειν διαφοράς. τὸ μὲν γὰρ ἔχει τὰ φύλλα ὅμοια μαράθῳ, μακρότερα δὲ καὶ λεπτότερα. τὸ δὲ, ὅμοια κοριάννῳ. Τὸ δὲ χελιδόνιον, βοτάνη ἐστί. καὶ φύεται καθ' λευκὴ καὶ μέλαινα. μέμνηται τῆς βοτάνης καὶ Εὐφορίων, ἀλεξίκακον φὺν ῥάμνον. καὶ Σώφρων ὁμοίως, ἀεὶ δὲ πρὸς φύλλοις ῥάμνου κρατιζόμεθα. Νήστειρα δὲ, ἤγουν τοῖς νήστεσι διδομένη. γράφεται καὶ δρύστα, ἵν' ᾖ, δραστική. Ναὶ μὴν. τὸ παρθένιον τινὲς ἑλξίνην ὀνομάζουσιν. ἔνιοι δὲ, περδίκιον. Τὸ δὲ κέρκορον, λάχανον εὐτελές ἐστι. λημνίδα δὲ μίλτον, τὴν λημνίαν σφραγῖδα φησίν. ἣν καὶ θελκτήριον, οἱονεὶ ἀλεξητήριον, πάσης ἄτης φησί. καθαρτικὸν γάρ ἐστι. Νηδὺν δὲ

τὴν πολλὴν φησὶ καί περ βαρυνομένην ταῖς ἀνίαις, θεραπεύεται καρπὸς τοῦ παλιούρου. σὺν τῷ καρπῷ δὲ, καὶ οἱ νέοι ὀροβάκχοι. ἤγουν ἡ διάνευσις τῶν ῥοιῶν. ἄρρηχος οὖν ἡ παλίουρος λέγεται, οἱονεὶ ποδὶ ἀφράσσουσα. καὶ πρὸς φραγμὸν εὖ πεποιημένη. ἀπὸ τοῦ ἐπιτατικοῦ α καὶ τοῦ ῥῦχος, ὃ σημαίνει τὸν φραγμόν. οἱ δὲ ὀροβάκχοι, σημαίνουσι καὶ τοὺς κυτίνους ἀσκούς. καὶ τὸ ἀκανθοβόλος δὲ χαίτη, ἄδηλα δὲ καὶ ἐπὶ τῆς ῥοιᾶς εἴρηται. Σίδης. νοεῖται ἔξωθεν τὸ λάβε. ἵν' ᾖ λάβε τοὺς ὀλόχους τοὺς αὐχενίους τῆς σίδης. ὑσγινόεντας καὶ ἐπημύοντας. ὑσγινόεντας μὲν οὖν, ἤγουν πυρούς, καὶ τῷ ὑσγίνῳ τῇ βοτάνῃ ὁμοίους κατὰ τὸ χρῶμα, ἐπειδὰν τὸ κύτινον ἀποβάλλωσιν. ἐπιμύοντας δὲ, τοὺς μύοντας καὶ οἱονεὶ ἐσφιγμένους. ὀλόχους δὲ τοὺς τῶν ῥοιῶν τραχήλους, τοὺς πρότερον μὲν κεχηνότας, ὕστερον δὲ μύοντας. πρότερον γὰρ ἀνεῳγμένοι ὄντες, κατ' ὀλίγον μύουσι, τοὺς κυτίνους ἀποβάλλοντες, νῦν δὲ ἀπὸ μέρους τὰς διανθήσεις τῶν ῥοιῶν ὀλόχους εἶπεν. αὐχενίους δὲ, ἤγουν τραχηλώδεις οἱονεὶ τραχήλους ἔχοντας. Καὶ ὕσσωπος δὲ, βοτάνη, ὁμοία συμφύχῳ. τὸ δὲ νέον ἐν βότρυσιν, ὑπαλλαγή ἐστι. ἔδει γὰρ εἰπεῖν, βότρυς ἐν κλήματι. οὐ γὰρ ἐν τοῖς βότρυσι τὸ κλῆμα, ἀλλ' οἱ βότρυς ἐν τῷ κλήματι. νέον δέ φησι τὸ ὄμφακας ἔχον. Καὶ ἡ κόνυζα δὲ, εἶδος βοτάνης, ἣν καὶ λεπτόθριον εἶπεν ἤγουν λεπτόφυλλον. τὸ δὲ πολύθρονα ἤγουν πολυφάρμακα. γράφεται δὲ καὶ πολύχνοα, ἤγουν πολὺν χνοῦν ἔχοντα. εἰ δὲ χρυσώδη, ὥσπερ τὰ κυδώνια. Πέπερι δὲ, τὸ μέλαν, οὐ τὸ λευκόν φησι. Καὶ τὸ ἀπὸ μήδων δὲ κάρδαμον, οὐ τὸ βαβυλώνιον, ἀλλὰ τὸ περσικόν φησι. Τὸ δὲ πολυανθὴς γλήχων γράφεται καὶ πολυανθέα γλήχων, τοῦ γλήχωνος ὄντος κατὰ ἀποκοπήν. καὶ εἴη ἂν ὁ νοῦς, τὰ πολυανθῆ ἔρνη ἤγουν κλάδοι τοῦ γλήχωνος.

Σίδης δ' ὑσγινόεντας ἐπημύοντας ὀλόχους
Αὐχενίους, ἵνα λευκὰ πέριξ ἐνερεύθεται ἄνθη.
Ἄλλοτε δ' ὕσσωπός τε καὶ ἡ πολύγωνος ὄνωσις.
Φύλλα τε τηλεφίοιο νέον τ' ἐν βότρυσι κλῆμα,
Ἀγλῖθες καὶ κάρηνα ὀρειγενέος κορίοιο,
Ἢ καὶ λεπτοθρίοιο πολύθρονα φύλλα κονύζης.
Πολλάκι δ' ἢ πέπερι κόψας νέον, ἢ ἀπὸ μήδων
Κάρδαμον ἀμπίσαιο. σὺ δ' ἂν πολυανθὴς γλήχων
Στρύχνον τ' ἠδὲ σίνηπι κακηπελέοντα σαώσαι,
Ἀγρεῖ ἢ στατίνης χλοερὸν πράσον, ἄλλοτε δ' αὖτε
Σπέρμ' ὀλοὸν κνίδης, ἥ τ' ἐψίη ἔπλετο κούροις.
Σὺν καί που νιφόεν σκίλλης κάρα, σὺν δὲ βολβῶν
Σπεῖρα, καὶ καυλεῖον ὁμοκλήτοιο δράκοντος,
Ῥάμνου τ' ἀσπαλάθους θαμνώδεος, ἠδ' ὅσα πεῦκαι
Ἀγρότεραι στρόμβοισιν ὑπεθρέψαντο νάπαισι.

καὶ τὸ στρύχνον καὶ τὸ σίνηπι, σώσει σε κακηπελέοντα, καὶ τῇ κάκῃ ἤγουν νόσῳ πελάζοντα, τουτέστι νοσοῦντα. Σπέρμ' ὀλοὸν κνίδης. κνίδην τὴν ἀκαλύφην λέγει. οὕτω γὰρ παρ' ἀθηναίοις καλεῖται. κνησμὸν δὲ τῷ ἁφαψαμένῳ ποιεῖ. ἐψία δὲ τουτέστι παίγνιον. Ὅμηρος ἐψιαάσθων. παίζουσι γὰρ τῷ σπέρματι ταύτης οἱ παῖδες ἐν παιδιᾷ, ὡς ἀστραγάλοις. ἢ ὅτι παίζοντες τύπτουσι δι' αὐτῆς ἀλλήλους. Νιφόεν τὸ τῆς σκίλλης κάρα λέγει, ἢ ὅτι ὑγρόν, ἢ ὅτι ψυχρόν. καὶ γὰρ ἡ σκίλλα ψυχρᾶς ἐστιν ἐνεργείας. ἢ τὸ λευκὸν οἷός ἐστιν ὁ νιφετός. τὸ γὰρ τῆς θηλείας σκίλλης

σκύλλης καρπὰ λευκόν ἐστι. Αὖα σπείρεα βολβῶν, τὰ σπέρματα τῆς σκύλλης λέγει. πολλαῖς γὰρ περιβολαῖς ὑμένων καλυπτόμενον, ἔνδον τοῦ χιτῶνος, διὰ ἐν σκότει καὶ ἀορασίᾳ, ἔχει τὰ σπέρματα. Τὸ δὲ ὁμοκλήεσσι. ἤγουν ὁμωνύμως λεγομένων δράκοντος. Ἢ δ' ὅσα πεῦκαι. ἡ σύνταξις οὕτως. ὅσα αἱ ἀγρότεραι πεῦκαι καὶ ναπαῖαι τοῖς στρόμβοις ὑπεθρέψαντο. ὡς λέγει αὐτὸν στρόμβους, τὸν κωνοειδῆ καρπὸν τῆς πεύκης. ὅμοιος γὰρ τοῖς στροβύλων κώνοις ἐστίν. ἢ στρόμβοισι ναπαίοις, τοῖς συνεστραμμένοις καὶ βαθέσι κοιλώμασι, τοῖς ἐν ταῖς νάπαις.

Εἰ δὲ σύ γ' ἐκ ῥίζης ἀβληχρέος ἔγχλοα ῥίζαν
Θηρὸς ἰσαζομένην τμήξαις ἰοειδεῖ κέντρῳ
Σκορπίου, ἠὲ σίδας ψαμαθηίδας, ἃς τρέφει αἶα,
Κωπαΐσι τε λιμναῖον ὑπεθρέψαντο περὶ ὕδωρ,
Ἠὲ περὶ Σχοινῆός τε ῥόος Κνώποιό τε βάλλει,
Ὅσσα θ' ὑπ' ἰνδὸν χεῦμα πολυφλοίσβοιο Χοάσπου
Πισάκι' ἀκρεμόνεσσιν ἀμυγδαλόεντα πέφανται,
Καυκαλίδας, σὺν δ' αἰθὰ βάλοις φιμώδεα μύρτα,
Κάρφεα δ' ὀρμίνοιο καὶ ἐκ μαράθου βρυόεντος,
Ἰάσιμόν τε καὶ ἀγροτέρου σπέρμ' ἐρεβίνθου,
Σὺν χλοεροῖς θάμνοισι βάλοις βαρυώδεα ῥίζην.

Καὶ τὸ σκορπίουρον δὲ, βοτάνη ἐστὶ, ὅπερ ἀβληχρίαν λέγει, διὰ τὴν ῥίζαν αὐτοῦ, τοῦ δήγματος τοῦ σκορπίου θεραπευτικὸν εἶναι. ἢ διὰ τὸ βληχρῶς ποιεῖν τὰς ὀδύνας. ἰσαζομένην δὲ κατὰ τὴν ὁμοιότητα δηλαδὴ ἤγουν ὁμοίαν. θηρὸς δὲ ἤγουν τοῦ σκορπίου. ἰοειδεῖ δὲ, ἤγουν ἰοβόλῳ. κέντρῳ, ἤγουν τῇ οὐρᾷ. ἐν τῇ οὐρᾷ γὰρ ἔχει τὸ κέντρον ὁ σκορπίος. Ἡ δὲ σίδη, φυτόν ἐστιν, ὃ κατὰ Θεόφραστον ἐν Ὀρχομενῷ φύεται ἐν ὕδατι. ῥίζα οὖν. τηλίκον δὲ, ἡλίκον μήκων. ἔχει δὲ κόκκους ἐρυθρούς, ὁμοίους ῥοιᾶς, στρογγυλωτέρους δέ. ψαμαθηίδας δὲ εἶπεν, ἀπὸ ψαμάθης, τόπου ἐν Βοιωτίᾳ οὕτω καλουμένου, ἢ κρήνης. ἢ τραπέζιον ἄμμος θῖνας, ἐπεὶ διαφόρως, ἄμαθον μὲν τὴν παρὰ τοῖς ποταμοῖς. ψάμαθον δὲ τὴν παρὰ τῇ θαλάσσῃ λέγουσι. παρόμοιον δὲ τὸ φυτόν ἐστι ῥοιᾷ. καὶ βρωσίμους δὲ τὰς σίδας φασὶν εἶναι. τὸ δὲ ἃς τρέφει αἶα, γράφεται καὶ, ἃ τρέφει αἶα. αἱ δὲ Κωπαῖαι, πόλις Βοιωτίας, αἳ καὶ Κῶπαι λέγονται. αἳ τινές φησιν ἀνέθρεψαν τὰς σίδας περὶ τὸ λιμναῖον ὕδωρ, ὅπου ὁ ῥοῦς τοῦ Κνώπου καὶ τοῦ Σχοινέως βάλλει καὶ φέρεται. Σχοινὺς δὲ καὶ Κνῶπος, ἄμφω ποταμοὶ Βοιωτίας εἰσί. Κνῶπος δὲ ὁ Ἰσμηνός ἐστιν, ὃς οὕτω καλεῖται ἀπὸ Κνώπου τοῦ Ἀπόλλωνος. ἔστι δὲ καὶ ἕτερος Κνῶπος, δι' οὗ ὁ Ἰσμηνὸς φέρεται. Ὅσσα θ' ὑπ' ἰνδόν. καὶ ὅσα, φησίν, ὑπὸ τὸ ἰνδὸν χεῦμα τοῦ Χοάσπου πισάκια ἀμυγδαλόεντα φαίνεται ἐν τοῖς ἀκρέμοσι. καυκαλίδας δὲ, τὰ λέπη τῶν πισακίων λέγει, ἢ ἄλλο εἶδος βοτάνης. Τὰ δὲ μύρτα, ἤγουν τὸν καρπὸν τῆς μυρρίνης, αἰθὰ μὲν εἶπεν, ἤγουν μέλανα. φιμώδη δὲ, διὰ τὸ στυπτικόν. στύφα γάρ ἐστι καὶ ἐπειδὰν τις αὐτὰ φάγῃ, τῇ στυφότητι δεσμεῖ καὶ φιμοῖ τὸν λαιμὸν καὶ τὸ στόμα τοῦ φαγόντος. Σὺν χλοεροῖς θάμνοισι. λείπεται ὁ καὶ σύνδεσμος, ἵν' ᾖ, σὺν τοῖς χλωροῖς θάμνοις τοῦ ἐρεβίνθου, βάλε καὶ τὴν βαρύοδμον καλουμένην βοτάνην. καὶ τὸ μελίλωτον δὲ, βοτάνη εὐώδης ἐστί.

Τὰ δὲ τῆς οἰνάνθης βρύα φησὶ καταψύχουσιν ἤγουν συντρίβουσι οἱ νομεῖς. διὰ τὸ παραβάλλειν ἴσως ταῖς αἰξὶ ταῦτα. βρύα δὲ νῦν τῆς πρίμνης καὶ τὰ φύλλα λέγει. καὶ ἡ λυχνὶς βοτάνη ἐστί. λέγει δὲ τὴν ἀγρίαν. αὕτη γὰρ συμ-

Καὶ μὴν καὶ σίσυμβρα πέλει μειλίγματα νούσων
Σὺν δὲ, μελιλώτοιο νέον στέφος, ἠδ' ὅσα χαύνης
Οἰνάνθης βρύα λευκὰ καταψύχουσι νομῆες,
Ὅσσα τε λυχνὶς ἔνερθεν, ἐρευθήεις τε βρυαλλίς,
Καὶ ῥόδον ἠδ' ἴα, λεπτὸν ἀεὶ στρομβεῖον ἀέξει,
Ἢ καὶ πουλύγονον λασίων ὑπάμησον ἰάμνων,
Ψίλωθρον, καρπόν τε πολυθρήνου ὑακίνθου,
Ὃν φοῖβος θρήνησεν, ἐπεί ῥ' ἀκούσιος ἔκτα
Παῖδα, λαβὼν προπάροιθεν ἀμυκλαίου ποταμοῖο,
Πρωθήβην ὑάκινθον. ἐπεὶ σόλος ἔμπεσε κόρσῃ
Πέτρου ἀφαλλόμενος, νέατον δ' ἤραξε κάλυμμα.
Τὸν δ' ἔτι καὶ τριπέτηλον ὀπιό τε δάκρυα βάλλοις
Τριοσσοῖς ὁλκήεσσιν ἰσοζυγέων ὀδελοῖσιν.
Ἠὲ σύ γ' ἕρπυλλον κροσσέα πολλάκι κρῆθμον,
Ἢ πολιὴν κυπάρισσον ἀμέργων, σὺν δέ τι αὐταῖς
Ἄννησον λιβυκάς τε ποτῷ ἐνικνήθειο ῥίζας.

βάλλεται τοῖς ὀφιοδήκτοις καὶ σκορπιοδήκτοις. Καὶ ὁ πολύγονος βοτάνη ἐστὶν ἣν ὑπαμῆσαι ἀπὸ τῶν λασίων ἰάμνων κελεύει. δηλαδὴ ὑπερθερίσαι ἀπ' αὐτῶν τοὺς πυκνοὺς κλάδους. τὸ ὑπάμησον καὶ θέρισον τὸν πολύγονον ὅπερ ἄμεινον. ἴαμνοι δὲ λέγονται μὲν καὶ οἱ κλάδοι. λέγονται δὲ καὶ τὰ ἰαμενά, ἤγουν σύμφυτα χωρία. καὶ τὸ ψίλωθρον βοτάνη ἐστὶν ἥ τις καὶ καρκίνωθρον καὶ κλῆμα καλεῖται. τὸν δὲ ὑάκινθον πολύθρηνον φησίν, διονεὶ πολυθρήνητον. γράφεται καὶ φιλοθρήνου, ἤγουν φιλοῦντος τοὺς θρήνους, ἢ ὑπὸ φίλου θρηνηθέντος. ὁ γὰρ ἀπόλλων πολλὰ ἐθρήνησε τὸν ὑάκινθον ἀποθανόντα. ὅς τις ὑάκινθος, υἱὸς μὲν ἦν ἀμυκλαίου καὶ διομήδης, ὃν ἠγάπησεν ὁ ἀπόλλων σφόδρα, ὥστε καὶ συγγυμνάζεσθαι αὐτῷ καὶ συμπαίζειν. δισκευόντων οὖν αὐτῶν ποτέ, λαβὼν ὁ ἀπόλλων τὸν δίσκον καὶ ἀφείς, ἄκων κατέαξεν αὐτὴν κατὰ τῆς κεφαλῆς τοῦ ὑακίνθου, καὶ οὕτως αὐτὸν τὸν μειράκιον ἀπέκτεινεν. ὃν πάνυ πολλὰ ἐθρήνησεν ἀποθανόντα. ἐκ τοῦ αἵματος οὖν αὐτοῦ ἔφυ ἡ βοτάνη, ἣν καὶ ἀπὸ τοῦ ὀνόματι αὐτοῦ ὑάκινθον ἐκάλεσε. τοῦτο οὖν ἐστιν, ὃ καλεῖ πολύθρηνον ἢ καὶ φιλόθρηνον ὑάκινθον. σόλον δέ φησι τὸν δίσκον. ὅς τις φησὶν ἀφαλλόμενος τῆς πέτρας, ἐνέπεσε τῇ κόρσῃ, τουτέστι τῇ κεφαλῇ τοῦ ὑακίνθου. κάλυμμα δέ, τὸν περὶ τὸ κρανίον ὑμένα φησίν. Ὀπὸν νῦν τὸν κυρηναϊκόν φησι. δάκρυα δέ, τὸν χυλόν. τριοσσοῖς δὲ ὁλκήεσσιν ὀδελοῖς, ἀντὶ τοῦ τριπλοῖς ὀβολοῖς ὁλκαῖς σιν

ἤγουν βαρέσιν ἐσταθμισμένοις. ἰσοζυγεῶν, καὶ ἴσον ἀπὸ τοῦ τριπετήλου ἤγουν τριφύλλου σταθμὸν καὶ ἰσχύς. καὶ ὁ ἕρπυλλος, εἶδός τι λαχάνου, ὃν κροσσέα φησίν, ἐπειδὴ κροσσωτὸς ἐστι κατὰ τὰ φύλλα. κρῆθμον δέ, τὸ λάχανον λέγει. τοῦ δὲ ἑρπύλλου μέμνηται καὶ Καλλίμαχος ἐν τῇ ἑκάβῃ ἢ ἑκάλῃ. Ἐνικνήθειο ῥίζας. τουτέστι, ξῦε τὰς ῥίζας τοῦ σιλφίου μετὰ οἴνου. λιβυκὰς γὰρ ῥίζας, τὸ σίλφιον φησί. διότι πολὺ ἐστιν ἐν τῇ λιβύῃ. Ὧν σύ, ἐξ ὧν φησὶ σὺ ποτὲ μὲν μικτῶς πάντα, ποτὲ δὲ χωρὶς ἕκαστον μίξας ἐν φιάλῃ μετὰ ὄξους, ἢ οἴνου, ἢ ὕδατος, πολλάκις δὲ καὶ μετὰ γάλακτος πῖνε. Ἢν δέ σ' ὁδοιπλανίοντα. ἐὰν δὲ συμβῇ σε ὁδοιπορουντα πανταχοῦ ἀναδέξασθαι, τουτέστιν ἐνταῦθα σὺ ὁ παντελῶς λαβὼν τὰς πρῶτον χανούσας ῥίζας, ὀπτήσας δὲ ποτέ, λαμακας ... καὶ τὸν μὲν χυλὸν ἐκβα-

λι. τὰ δὲ μασσηθέντα βότανα ἐπιτίθει, καὶ οὕτω θεραπευθήσῃ καὶ φεύξῃ τὴν ὀδύνην. καταστέρξῃ μὲν οὖν, ἀντὶ τοῦ κατεπείγῃ τῇ ὀδύνῃ καὶ καταπονῇ. μαστάξῃ δὲ, ἀντὶ τοῦ μάσσαξον, ὅ ἐστι μασσῶ ταῖς σιαγόσιν. ὄφρα δύην ἀντὶ τοῦ, ὅπως τὴν ὀδύνην καὶ τὴν βλάβην τὴν κατε-

ψῃς. στέρνα δὲ πυρὸς εἶπε μεταφορικῶς, ἀντὶ τοῦ εἰς τὸ μέσον. στέρνα γὰρ κυρίως ἐπὶ ζώων μόνον εἴρηται. σημείωσαι δὲ ὅτι θηλυκῶς εἶπε τὴν σίδηρον. Αλλοτε φορβάδος. ἐν αἰγείῳ φησὶν ἀσκῷ οἴνου ὄντι πεπληρωμένῳ, δεῖ ἀπολοῦσαι ἔσωθεν τὸ πληγὲν μέρος. φορβὰς

Ωμ σὺ τότ' ἀμμίγδην, τοτὲ δ' ἄνδιχα πίνεο θρύ-
Εμ κελέβῃ. κεράσαι δὲ σὺν ὄξεϊ. πολλάκι δ' οἴνῃ, (ψας
Η ὕδατι. χραισμεῖ δὲ, καὶ ἐνθρυφθέντα γάλακτι.
Ημ δ' ἔσ' ὁδοιπλανέοντα καὶ ἐν νεμέεσιν ἀνύδροις
Νύγμα καταστέρξῃ βεβλημένον, αὐτίκα ῥίζας
Η πρίας ἢ σπέρμα περ' ἀτραπιτοῖσι χλοάζον,
Μαστάξῃ γενύεσιν. ἀμελγόμενος δ' ἀπὸ χυλόν,
Τύμμασιν ἡμίβροτ' ἐμβάλλοις ἀπολύματα δαι-
Οφρα δύην ὀλοοῦ τε πότμου θηρὸς ἀλύξῃς. (τός.
Ναὶ μὴν τε σικύην χαλκήρεα λοιγέϊ τύψας,
Προσμάξας, ἰόν τε καὶ ἀθρόον αἷμα κενώσεις.
Ηὲ κράδης γλαγόεντα χέας ὀπόν. ἠὲ σίδηρον
Καυστειρῆς θαλφθέντα ὑπὸ στέρνοισι καμίνου.
Αλλοτε φορβάδος αἰγὸς ἐνίπλειον δέρος οἴνης
Χραισμήσει τημοῦτος, ἐπὴν σφυρὸν ἢ χέρα κόψῃ,
Ασκοῦ ἔσω βρύθοντα μέσον διὰ πῆχυν ἐρείσας,
Η σφυρόν, ἀσκοδέτας δὲ πέριξ βουβῶνας ἑλίξεις.
Εἰσόκε τοι μένος οἴνου ἀπὸ χροὸς ἄλγος ἐρύξῃ.

δὲ, λέγεται μὲν καὶ τὸ φοράδιον. λέγεται δὲ καὶ πάντα τὰ βοσκόμενα. ἀπὸ τοῦ φορὰ ἡ τροφή, φορβάς. καὶ τροπῇ τοῦ β εἰς φ. φορβάς. Ασκοδέτας. τὸν αἴγειον φησὶν ἀσκὸν τὸν οἰνηρὸν πεπιασμένον. τῷ δηχθέντι μέρει τοῦ σώματος ἀνατιμῶν ἐπίβαλλε. ἑλίττων καὶ δεσμεύων ἰσχυρῶς. γράφεται δὲ τὸ ἑλίξεις καὶ ἑλίσσεις. Βουβῶνας δὲ κυρίως μὲν ἐπὶ μηρῶν λέγουσι. νῦν δὲ καταχρηστικῶς καὶ ἐπὶ χειρῶν βουβῶνας εἶπε. λέγει δὲ τὰς μασχάλας.

Δύπτε. καὶ βδέλλας φησὶν ἐπίβαλλε τῷ τύμματι, ἵνα τὸ βλαβερὸν αἷμα ἑλκύσωσιν. Αλλοτε. τὰ ἀποπατήματα φησὶ τῶν αἰγῶν εἰς ζύγα οἴνου ἢ ὄξους ἐμβαλὼν, καὶ μεμιγμένως ταράξας, ἔτι νεαρᾶς οὔσης τῆς πά-

πείγουσάν σε ἐκφύγῃς. Ναὶ μὴν καὶ σικύην. τὴν χαλκῆν ἢ σιδηρᾶν σικύαν λέγει. μεθ' ἧς σικυάζουσιν οἱ ἰατροί. καὶ ἐκσύρουσι δι' αὐτῆς τὸ πληχθὲν αἷμα. καὶ ἐνταῦθα οὖν σικυάσαι κελεύει, ἵνα ἐκσύρῃς τὸν ἰόν. Ηὲ κράδης. ἢ τὸν τῆς συκῆς φησὶ γαλακτώδη ὀπὸν ἔμβαλε τῷ τύμματι. Ηὲ σίδηρον. ἢ σίδηρον φησὶ πυρακτωθέντα ἐντὸς τοῦ πυρὸς, ἔμβαλε. δηλαδὴ τῇ τύ-

του, τουτέστι τοῦ πυράθου, πέριξ τοῦ δήγματος ἰλιάσαι. δηλαδὴ χρίε, ἕως ἐστὶ νεαρὸν τὸ ἀποπάτημα τῆς αἰγός. δεῖ γὰρ αὐτὸ νεαρὸν ὑπάρχον λαβεῖν καὶ μῖξαι μετὰ τῆς ζυγός. ἢ αὐτὸ τὸ μίγμα νεαρὸν ὑπάρχον χρίσαι. πύραθος μὲν οὖν, ἀφόδευσις, ἀποπάτημα, κόπρος τῆς αἰγός. πύραθος γὰρ κυρίως ἡ τῆς αἰγὸς κόπρος. καὶ πάτος δὲ, τὸ αὐτὸ σημαίνει.

Δήποτε καὶ βδέλλας κορέσας ἐπὶ τύμμασι βόσκειν.
Ἢ καὶ τὸν κρομμυοῖο στάξιν ὀπὸν, ἄλλοτε δ' οἴνης
Μίγδην ἐν πυτάθοισι χέας τρύγα φυρήσασθαι.
Ἢ ὄξευς, καλῷ δὲ πάτῳ περὶ τύψιν ἑλίξαις.
Ὄφρα δὲ τῇ πάσῃσιν ἀλεξητήριον ἄταις
Τευξάμενος πεπίθοιο, τό τοι μέγα κρήγυον ἔσται.
Ἦμος ὅτε θρόνα πάντα μιῇ ὑπὸ χειρὶ ταράξας,
Ἐν μὲν ἀριστολόχεια καὶ ἴριδος ἐνδέ τε νάρδου
Ῥίζαι. χαλβανίδες τε σὺν αὐαλέαισι πυρέθροις
Εἶεν, δ' αὐκτόν τε, πανακέος ἐν δὲ βρυώνης,
Σὺν δέ τε ῥιζία χαῦνα νεωρυχέος γλυκυσίδης,
Κάρφεά τ' ἐλλεβόρου μελανόχροος, ἄμμιγα δ' ἀφρὸς
Νίτρου, σὺν δὲ κύμινα χέας, βλαστόν τε κονύζης,
Ἄμμιγα δ' ἀγροτέρης σταφίδος λέπος. ἴσα δὲ δάφνης
Σπερμεῖα, κύτισόν τε, καταχνήθην τε χαμηλῶ.
Ἱππεῖον λειχῆνα. καὶ ἐν κυκλάμινον ἀγείρας.
Ἐν τῇ μήκωνος νεαρῆς ὀπὸν, ἀμφὶ τῇ ἄγνου
Σπέρματα, βάλσαμόν τε καὶ ἐν κινάμοιο βάλοισθα.
Σὺν καὶ σφονδύλιον, ἁλός τ' ἐμπληθέα κύμβην.
Ἄμμιγα καὶ τάμισον καὶ καρκίνον. ἀλλ' ὁ μὲν εἴη
Πτωκός. ὁ δ' ἐν ποταμοῖσι πολυστείοισι νομάζων.
Καὶ τὰ μὲν ἐν στύπεϊ προβαλὼν πολυχανδέος ὅλ-
Νάξαι λαϊνέοισιν ἐπιπλήσσων ὑπέροισιν (μου,
Αἶψα δ' ἐπ' αὐαλέοισι χέας ἀπορινέα χυλὸν,
Ἄμμιγα συμφύρσαιο. καταστίζοιο δὲ κύκλους
Δραχμαίους. πλάσιγγι διακρίδον ἄχθος ἐρύξας.
Οἴνης δ' ἐν δοιῇσι χαδεῖν κοτύλῃσι ταράξας,
Καί κεν Ὁμηρείοιο τε εἰσέτι Νικάνδροιο,
Μνῆστιν ἔχοις. τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολίχνη.

ΤΕΛΟΣ ΝΙΚΑΝΔΡΟΥ
ΘΗΡΙΑΚΩΝ.

καλῷ δὲ, ἐντίσιμα ρῷ. τύψει δὲ, τὸ τύμμα. φυρήσασθαι δὲ, τὸ ταράξαι. Ἀλέξανδρος δὲ ἐν τῷ περὶ θηριακῶν κελεύει, τὰ τῶν αἰγῶν ἀποπατήματα ἄν τε ὑγρὰ ᾖ, ἄν τε ξηρὰ, μετὰ τρυγὸς ὄξους ἢ οἴνου αὐτὰ κατασκευάζοντας ἐπιτιθέναι τοῖς τύμμασιν. ὁ δὲ σχοτὸς ἄνωθεν ἅπας, ὃν τοῖς ἰσί. καὶ σικύα αἷμα κίνειτον, καὶ τῆς συκῆς τοῦ δένδρου τὸν γαλακτώδη ὀπὸν εἰς τὴν πληγὴν ἔμβαλε. ἢ σιδήρῳ καῦσον. καὶ ἐν ἀσκῷ οἶνον ἔχοντι τὸ πεπληγμένον ἔμβαλε μέρος. καὶ αὐτοῦ δὲ τοῦ ἀσκοῦ περίλιξον τὸ τύμμα. ἢ κρομμύου ὀπὸν στάξον. ἢ οἴνου ἢ ὄξους τρύγα νεκρῷ ἀποπατήματι αἰγὸς μίξας, καὶ μεμιγμένως ταράξας, ἐπίθες. ἰστέον δὲ ὅτι καὶ ἄν τις οἶνον ζεούσῃ ἀσβολίᾳ ἐπιχύσας καὶ ταράξας, ἐπιθῇ τῷ τύμματι, θεραπεύσει τὰ πληγέντα.

ΤΕΛΟΣ.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΑ ΑΛΕξιφάρμακα Νικάνδρου.

Οι μὲν ἐπιγράφουσι περὶ θανασίμων φαρμάκων. οἱ δὲ, ἀντιφάρμακα. ἄλλοι δὲ ἀλεξιφάρμακα, ὡς καὶ αὐτός φησι,

Δάμους δὲ τὸ ἄθροισμα λέγει.

Καὶ τύρσεις, δεῖ ἀκούειν τὰς πόλεις, ἀλλ' οὐ τὰς ἐπάλξεις κυρίως ὅπερ σημαίνουσιν. ἀπεμφαίνων γὰρ ὁ λόγος ἐστὶν, εἰ χάριν τῶν ἐπάλξεων οἱ Δῆμοι τὰ τείχη ἔκτισαν, ἀλλὰ μὴ χάριν τῶν πόλεων. Σύγκληρα δὲ, σύνορα τῶν αὐτοκλήρων. Τὸ δὲ τέων, οὐκ ὀρθῶς κεῖται, σημαίνει γὰρ τὸ τίνων. Ομηρος, Τέων δ' ἔξεαι ἱκέσθαι, κλύων, βούλεται δὲ λέγειν, ὧν. Βλάστας δὲ, τὰ βλαστήματα. τὰ γένη. ὁ γὰρ ἄνθρωπος δίκην φυτοῦ αὔξει. Τύρσεσι δὲ, ταῖς πόλεσιν, ἀπὸ μέρους τῶν τειχῶν.

ΝΙΚΑΝΔΡΟΥ ΑΛΕΞΙΦΑΡΜΑΚΑ.

Ει καὶ μὴ σύγκληρα κατ' ἀσίδα τείχεα δῆμοι
Τύρσεσιν ἑσύσαντο, τέων ἀπεδέγμεθα βλάστας,
Πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
Ρεῖά κέ τοι προΐεσσιν ἀλέξια φαρμακόεσσαις
Αὐδήσαιμ', ἅτε φῶτας ἐνιχριμφθέντα δαμάζει.

* Τύρσεσιν ἑσύσαντο. τύρσεις τὰς πόλεις, οὐ τὰς ἐπάλξεις, ἐφ' ὧν κυρίως λέγεται. τὸ δὲ τέων, οὐκ ὀρθῶς κεῖται. σημαίνει γὰρ τὸ τινῶν. ὡς καὶ Ομηρος, τέων δ' ἔξεαι ἱκάνων. Βούλεται δὲ λέγειν, τὸ ὧν.

Καὶ δολιχὸς, ἀντὶ τοῦ μακρὸς. πολύς. ἀπέχουσι γὰρ ἀλλήλων ἡ κύζικος, καὶ ἡ κολοφών. Αλέξια φαρμακόεσσαις, τὰ ἀλεξιτήρια τῶν φαρμάκων ἐπιρρίμι, ἀντὶ τοῦ βλαπτούσας καὶ ὠφελούσας βοτάνας ἐπιρρίμι. Α τε φῶτας. ἔδει εἰπεῖν, ἅι τινες ἀι πρόσης. ὁ δὲ, ἀντὶ τὸ ὁμώνυμον οὐδετέρως μετῆλθεν ὁμηρικῶς. πρὸς τὰ φάρμακα γὰρ τὰ φθορητικὰ, ἔφησε τὰ ἀλεξιτήρια τῶν φαρμάκων ἐπιρρίμι.

Ρεῖα κέ τοι προΐεσιν ἀλέξια φαρμακόεσσαις, εἰ καὶ μὴ σύγκληρα. Νικάνδρος ἐστὶν ὁ λέγων κολοφώνιος Πρωταγόρᾳ κυζικηνῷ. ὁ δὲ νοῦς, Εἰ καὶ μὴ σύνοικος ἔχομεν τοὺς κλήρους τῶν πόλεων διὰ τῆς ἀσίας, ἀλλὰ τὸ σοι προσφωνεῖν, οὐκ ἀνοίκειον ἡγοῦμαι. Δήμους δὲ λέγει τὰ ἀθροίσματα τῶν τε προγόνων, καὶ τῶν κτισῶν.

Ει καὶ μὴ σύνοικος ἔχομεν τοὺς κλήρους τῶν πόλεων διὰ τῆς ἀσίας, ἀλλὰ τὸ σοι προσφωνεῖν, οὐκ ἀνοίκειον ἡγοῦμαι.

Πολυστρόβοιο δὲ θαλάσσης, τῆς πολυταράχου, παρὰ τὸ στροβεῖν τὰς ναῦς, ὅ ἐστι ταράσσειν. Αρκτῶν ὑπ' ὀμφαλόεσσαν ἀρκτικωτέρα γὰρ ἡ κύζικος τῆς κολοφῶνος. Ομφαλὸν δὲ καλεῖ τὸν βόρειον πόλον. ὡς μεσαίτατον, ἢ αὐτὴν τὴν ἄρκτον, διὰ τὸ περικείμενον αὐτῇ τῶν ἀστέρων χορόν. ὀμφαλόεσσαν εἴρηται, διὰ τὸ περὶ τὸ μέσον τοῦ

μέσον τοῦ βορείου κεῖται. τινὲς δὲ ὑπέλαβον κατὰ τὴν ἄρκτον τόπον εὐβοτώτατον, ὀμφαλόεσσαν εἰρῆσθαί φασι τὴν ζοφώδη. ὀμφαλὸς γὰρ ἀπὸ τοῦ ὄμπνης εἴρηται, ὅ ἐστι ζοφή. ἀφ' οὗ καὶ ἡ Δημήτηρ ὀμπνία. ἄλλοι δὲ τὴν κρητικήν. ὀμφαλὸς γὰρ τόπος ἐν κρήτῃ, ὡς καὶ Καλλίμαχος, Πίσε δαίμων ἀπ' ὀμφάλιος. ὅθεν ἐκεῖνο, ὀμφάλιον μετέπειτα πέδον καλέουσι κύδωνες.

ψας. ἡ δὲ καταβρυχομένη αὐτὸν ἔθαψεν. οἱ δὲ φρύγες κατὰ τὸ ἔαρ θρηνοῦσιν αὐτόν. ὥσπερ δὲ ἀπὸ τοῦ ἄλτης, ἄλτεω. οὕτω καὶ ἀπὸ τοῦ ἄττης, ἄττεω. ὡς ἀπὸ πλεονασμοῦ ὡς ἑρμῆς ἑρμέω.

Κρεούσης. ἐρεχθέως καὶ ἀπόλλωνος ἴων. ἀφ' οὗ ἴωνες οἱ ἀθηναῖοι. καὶ ἰάδες πολλαὶ πό-

* Ἄρκτων ὑπ' ὀμφαλόεσσαν. ἐπεὶ δοκεῖ ὑπὸ τὰς ἄρκτους τόπος εὔβοτος, ὀμφαλόεσσαν δὲ εἰρῆσθαί φασι τὴν ζοφώδη. ἐπεὶ καὶ Δημήτηρ ὄμπνια λέγεται ἡ ζόφιμος. ἄλλοι δὲ τὴν κρητικήν. ὀμφαλὸς

Ἠ μὲν δή σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
Ἄρκτων ὑπ' ὀμφαλόεσσαν ἐνάσσαο, ἧχί τε ῥείης
Λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον ἄττεω.
Αὐτὰρ ἐγὼ τόθι παῖδες ἐϋζήλοιο κρεούσης
Πιοτάτην ἐδάσαντο γεωμορίην ἠπείρου
Ἑζόμενος τριπόδεσσι παρὰ κλαρίοις ἑκάτοιο.

γὰρ τόπος ἐν κρήτῃ, ὡς καὶ Καλλίμαχος, Πίσε δαῖμον ἀπ' ὀμφαλός. ἔνθεν ἐκεῖνο, Ὀμφάλιον μετέπειτα πέδον καλέουσι κύδωνες.

Λοβρίνης θάλαμοι, τόποι, ἱεροί, ὑπόγειοι, ἀνακείμενοι τῇ ῥέᾳ, ὅπου ἐκτεμνόμενοι τὰ μήδεα κατετίθεντο οἱ περὶ ἄττιν καὶ τῇ ῥέᾳ λατρεύοντες. εἰσὶ δὲ τὰ λοβρινὰ ὄρη φρυγίας, ἢ τόπος κυζίκου. δύο γὰρ ὄρη εἰσὶν ἐν κυζίκῳ, δίδυμον καὶ κόκριν). Ἄττεω. Ἱστορεῖται ὅτι ποιμὴν ὢν φρὺξ ὁ ἄττης. ποιμαίνων δὲ καὶ ὑμνῶν τὴν μητέρα τῶν θεῶν, ἤγουν τὴν ῥέαν, ἐφιλήθη ὑπ' αὐτῆς. καὶ δὴ φαινομένη πολλάκις, τιμῆς αὐτὸν ἠξίωσεν. ὁ ζεὺς δὲ μετὰ τοῦτο δυσανασχετῶν, ἀνεῖλεν αὐτὸν οὐ φανερῶς διὰ αἰδῶ τῆς μητρὸς σὺν ἀγρίῳ πέμψας. ἡ δὲ καταλοφυρομένη αὐτὸν, ἔθαψεν. οἱ δὲ φρύγες κατὰ τὸ ἔαρ θρηνοῦσιν αὐτόν. ὥσπερ δὲ ἀπὸ τοῦ ἄλτης, ἄλτεω, οὕτω καὶ ἀπὸ τοῦ ἄττης, ἄττεω. ἢ ὡς ἀπὸ πλεονασμοῦ, ὥσπερ ἑρμῆς ἑρμέω.

* Καὶ ὀργαστήριον ἄττεω. ἱστορεῖται ὅτι ποιμὴν ὢν φρὺξ ὁ ἄττης. ποιμαίνων δὲ καὶ ὑμνῶν τὴν μητέρα τῶν θεῶν, ἐφιλήθη ὑπ' αὐτῆς. καὶ δὴ φαινομένη πολλάκις αὐτὸν τιμῆς ἠξίωσεν. ζεὺς δὲ μετὰ τοῦτο δυσανασχετῶν, ἀνεῖλεν αὐτὸν οὐ φανερῶς δι' αἰδῶ τῆς μητρός, ἀλλὰ σὺν ἀγρίῳ πέμ-

λεις. ἡ δὲ κολοφὼν τῆς ἰωνίας. Ἑζόμενος. γράφεται καὶ ἑζομένη κλαρίοιο θεοῦ παρὰ πίονι νηῷ. κλάρος γὰρ εἴρηται παρὰ τὸ κεκληρῶσθαι τὸν τόπον ἀπόλλωνι. ἢ ὅτι ἐκεῖ ἐκληρώσαντο, ζεύς, ποσειδῶν, πλούτων. ἢ ὅτι ἐκεῖ ἔκλαυσεν ἡ Μαντὼ σὺν τῷ ἀνδρὶ Βακχιάδῃ, διὰ τὴν τοῦ τόπου ἐρημίαν. Πυθέσθαι, ἀντὶ τοῦ πύθευ. ἤγουν, σύνες. γνῶθι. εὐκτικὸν ἀντὶ προστακτικοῦ. ἄκουε, μάθε. Τὸ δὲ ἀκόνιτον, ἐκ τοῦ μύθου φασὶ γενέσθαι ταύτην τὴν βοτάνην. τὸ δὲ ἀκόνιτον ῥίζιόν τί ἐστι βοτάνης, ὅμοιον ἀγρώστιδι, οὗ ἡ πόσις πικρὰ οὖσα, τὸ μὲν στόμα ἅπαν στύφει, τὴν δὲ καρδίαν δάκνει. τὸ δὲ πνεῦμα ὑποκαταψύξεως τοῦ πνεύμονος ἐγκόπτει, λυγμοὺς συνεχεῖς ἀποτελοῦσα. διὸ καὶ τὸν στόμαχον ἀφρίνεον ὄντα, ἐμποδίζουσα κλείει. τὴν δὲ κοιλίαν πνευμάτων ἐμπίπλησι, καὶ τὸ κῶλον. τοῖς δὲ κροτάφοις παλμὸν παρέχουσα, καὶ τῇ κεφαλῇ βάρος, καὶ τοῖς μέλεσιν ἱδρῶτας, ἔκφρονας ποιεῖ καὶ ἀσθενεῖς. τὸ ἀκόνιτον, εἶδος βοτάνης ἐστίν, ὅπερ καλοῦσιν ἀπὸ τοῦ συμβεβηκότος παρδαλιαγχές, διὰ τὸ ἀπόλλυσθαι ὑπ' αὐτοῦ τὴν πάρδαλιν. ἐπειδὴ ἀντιφάρμακον ἔχει τὴν ἀνθρωπείαν κόπρον. καὶ οὐ πρότερον ἐσθίουσιν αὐτὸ αἱ πάρδαλεις, εἰ μὴ ἔχοιεν τὴν

κόπρον

Ἀλλ' ἤτοι χολόεν μὲν, ἰδὲ στομίοισι δυσαλθὲς
Πευθείνης ἀκόνιτον. ὃ δὴ ῥ' Ἀχερωνίδες ὄχθαι
Φύουσιν, τόθι χάσμα δυσέκδρομον εὐβουλῆος
Ἀστεά τε Πριόλαο καταστρεφθέντα δέδορπεν.
Τοῦ δὲ πάντα χαλινὰ περὶ οὐρανόεσσαν ὑπήνην,
Οὐλάδ' ὑπερσύφει χολόεν ποτόν. ἀμφὶ δὲ πρώτοις
Εἰλύεται στέρνοισι κακὴ ἀλάλυγγι βαρύνων.
Φῶτ' ἐπικαρδιόωντα. δύη δ' ἐπιδάκνεται ἄκρον
Νειαίρης, ἄκλειστον ἀειρόμενον στόμα γαστρός.
Τεύχεος ἣν κραδίην ἐπιδόρπιον, οἱ δὲ δοχαίην
Κλείουσι στομάχοιο. πύλη δ' ἐπικέκλιται ἀρχαῖς
Πρῶτα κόλου, ὅθι πᾶσα βορῆς ἄλις ἐμφέρεται δαιτός.
Αἰεὶ δ' ἐκ φαέων νοτέων ὑπολείβεται ἱδρώς.
Ἡ δὲ ταρασσομένη, τὰ μὲν ἔβρασεν ἤλιθα νηδὺς
Πνεύματα. πολλὰ δ' ἔνερθεν ὑπὲρ μέσον ὀμφαλὸν ἵζει.

κόπρον πλησίον, ἵνα εὐθέως προσαγάγωσι τὴν βούθειαν. οἱ οὖν νομεῖς τὸν ἀπόπατον διεκπλέουσιν ἐν δένδρῳ. εἶτα ἐπειδὰν φάγωσιν αἱ παρδάλεις τὸ ἀκόνιτον, καὶ ὁρμήσωσιν ἐπὶ τὴν κόπρον, ἀνασπῶσιν οἱ ποιμένες. καὶ παρδαλιαγχόμεναι, τουτέστιν ἐπιπηδῶσαι, ἀποθνήσκουσιν. ἱστορεῖ Ἀριστοτέλης ἐν τοῖς ἀνατομικοῖς καὶ τῷ περὶ ζώων.

* Πυθείνης ἀκόνιτον. τὸ ἀκόνιτόν φασιν ἐκ τοῦ ἐμέτου τοῦ Κερβέρου φανῆναι. ἱστορεῖται γὰρ τὸν Κέρβερον ἐξ ᾅδου ἀναχθέντα, μὴ δύνασθαι ὑπομεῖναι τὰς αὐγὰς τοῦ ἡλίου. καὶ ἐμέσαι. καὶ ἐκ τοῦ ἐμέτου ταύτην γενέσθαι τὴν βοτάνην. ἔοικε δὲ ἀγρώστιδι.

Ἀχέρων δὲ ποταμὸς ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, ἔνθα τὸν τοῦ ᾅδου κύνα ὁ Ἡρακλῆς ἐξήγαγεν. ἔνθα καὶ λόφοι ἀκόνιτοι λέγονται. Εὐβουλῆος δὲ, τοῦ ᾅδου, κατ' εὐφημισμόν. Ἀστυρά τε. τὰ ἄστυρα πολίσματά εἰσι, καὶ χωρία οὕτω λεγόμενα. ὁ δὲ Πριόλαος, υἱὸς Δύκου βασιλέως Μαριανδυνῶν, ὃς ἀπέθανεν ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, Ἡρακλέους πολεμοῦντος τοῖς πλησίον, οὗ εἰς ὄνομα ὁ πατὴρ τὴν πόλιν ἐκάλεσεν ἐκεῖνος οὖσαν Ἡρακλείας. Οὐρανόεσσαν δὲ ὑπήνην, ἢ τὸ ἐπάνω τοῦ χείλους τρίχωμα, ἢ τὴν ὑπερῴαν, ἤτοι τὸν οὐρανίσκον καταχρηστικῶς. Δύη δ' ἐπιδάκνεται, τῇ ταλαιπωρίᾳ δὲ τοῦ πάθους τὸ τῆς καρδίας ἄκρον ὑποδάκνεται. Ἄκρον νειαίρης, τῆς κοιλίας, τῆς κατωτάτω. κατὰ τὸ ἄκρον καὶ ἄκλειστον στόμα τῆς νειαίρης γαστρὸς ἀειρόμενον τὸ φάρμακον. στόμα δὲ γαστρὸς, ὁ στόμαχος. ποιητικῶς δὲ διέφρασεν. ἡ δὲ κάκωσίς φησιν, ἐπιτίθεται τῷ στόματι τῆς κοιλίας, ὃ δὴ δαπανητὸς ἀνιωγός. Τεύχεος, τοῦ στόματος τῆς κοιλίας, ἣν οἱ μὲν καρδίαν καλοῦσιν. οἱ δὲ δοχεῖον τῶν ἐντέρων τῆς βρώσεως. λέγει δὲ τὸ κῶλον. Πύλη δ' ἐπικέκλιται. ἐμπέφρακται τῶν παχέων ἐντέρων ἡ εἴσοδος. τοῦτο γάρ φησιν, ὅτι φράττεται τὰ δοχεῖα μέρη τῶν σιτίων, διὰ τὴν ἀλγηδόνα. Νοτίων ὑπολείβεται ἱδρώς. παρακολουθεῖ δὲ ἀεὶ τοῖς τὸ ἀκόνιτον πεπωκόσιν ἐκ τῶν βλεφάρων καὶ τῶν μηλῶν ὑγρὰ ὑπόσταξις. ἡ δὲ γαστὴρ πνευματουμένη καὶ ταρασσομένη, τὰ μὲν πολλὰ τῶν πνευμάτων, ἄνωθεν ἐκβάλλει. τὰ δὲ λοιπὰ, κάτω πέμπει, ἅ τινα κατὰ τὸν ὀμφαλὸν ἱδρυνθέντα, ἐμφράσσει τὴν κοιλίαν.

Κράατι δ' ἐν βάρος. πνευμάτωσις δὲ πολλὴ, καὶ βάρος κεφαλῆς, καὶ κροτάφων παλμός. Δίπλοα δὲ, ἀντὶ τοῦ διπλᾶ ὁρᾷ, οἷα

συμβαίνει τοῖς ἐσκοτισμένοις τῇ μέθῃ. οὕτω φασὶ βαρεῖται ὑπὸ τοῦ φαρμάκου ὁ πιὼν αὐτό, ὡς ἀνὴρ κραιπαλῶν. Ἀγριόεσσαν ὀπώρην. νῦν τὴν σταφυλὴν λέγει, ἀντὶ τοῦ ἀγριοποιόν, ἐπειδὴ ὁ οἶνος ἀγριοποιός ἐστι, καθάπερ λέγεται ἡ ἀγρία, καὶ ὀργή. Ἐκθλίψαντες δέ, ἤγουν ἐκπιέσαντες τὴν σταφυλὴν οἱ σιληνοί. οὗτοι δὲ οὓς ἡμεῖς σατύρους λέγομεν, οἱ ἀρχαῖοι σιληνοὺς ἐκάλουν, ἀπὸ τοῦ σιλλαίνειν, ὅ ἐστι λοιδορεῖν. γράφεται δὲ διὰ τοῦ ι.

* Σιληνοὶ κεραοῖο Διωνύσοιο. οὓς ἡμεῖς σατύρους καλοῦμεν, οἱ ἀρχαῖοι σιληνούς, ἀπὸ τοῦ σιλαίνειν ἐκάλουν.

Κεραοῖο, ὅτι οἱ ἀρχαῖοι κέρασιν ἐχρῶντο ἐν τῇ πόσει ἀντὶ ποτηρίων. ὅθεν καὶ τὸ κεράσαι εἴρηται. ἢ διὰ τὸ ταυρωτικὸν τῶν πινόντων, τουτέστι τὴν ἀπὸ οἴνου ἰσχὺν ὡς κέρατα ἐχόντων. ταυρόκερως γὰρ ὁ Διόνυσος.

* Οἱ παλαιοὶ κέρασιν ἐχρῶντο ἐν τῇ πόσει ἀντὶ τῶν ποτηρίων. ὅθεν καὶ τὸ κεράσαι εἴρηται. ἢ διὰ τὸ στερρωτικὸν τῶν πινόντων, τουτέστι τὴν ἀπὸ τοῦ οἴνου ἰσχύν. ὁ δὲ Διόνυσος καὶ ταυρόκερως.

Κρᾶτα δ' ἐν βάρος ἐχθρὸν, ὑπὸ κροτάφοισι δὲ παλμὸς
Πυκνὸς ἐπεμφέρεται. τὰ δὲ, διπλόα δέρκεται ὄσσοις.
Οἷα χαλικραίῃ νύχιος δεδαμασμένος οἴνῃ.
Ὡς δ' ὁπότ' ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοί,
Πρῶτον ἐπ' ἀφρίζοντι ποτῷ φρένα θωρηχθέντες
Ὄμμασι δινήθησαν. ἐπὶ σφαλεροῖσι δὲ κώλοις
Νυσαίην ἀνὰ κλιτὺν ὑπέδραμον ἀφραίνοντες,
Ὣς οἵ γε σκοτόωσι κακῇ βεβαρηότες ἄτῃ.
Τὴν μέν τε κλείουσι μυοκτόνον. ἢ γὰρ ἀνιγροὺς
Παμπήδην ὕρακας λιχμήρεας ἠρήμωσεν.
Οἱ δέ τε παρδαλιαγχὲς ἐπὶ θήρεσσι πελώροις
Πότμον βουπελάται τε καὶ αἰγονόμοι ἔθεντο.

Θωρηχθέντες, ἀντὶ τοῦ μεθύοντες. καὶ Ἱπποκράτης τὴν οἰνοποσίαν θώρηξιν εἴρηκε. Νυσαίην δὲ κλιτὺν, ἤγουν ἀνὰ τὴν κλιτὺν τοῦ Νυσαίου ὄρους. Ὡς οἵ γε σκοτόωσιν. οὕτω φησὶ καὶ οἱ βεβρωκότες τὸ ἀκόνιτον διατίθενται ἔκφρονες. ταύτην μὲν τὴν βοτάνην τὸ ἀκόνιτον, καὶ μυοκτόνον καλοῦσι, διὰ τὸ τοὺς περιλείχοντας αὐτὴν μύας φονεύειν. ὕρακας, τοὺς μύας τοὺς αἰτωλούς. λέγεται γὰρ ὗς ὁ χοῖρος, καὶ ὕραξ. ὕρακας δὲ νῦν τοὺς μύας ἐκάλεσε, διότι παρῳκασι χοίροις τοῖς ῥάμφεσι. Λιχμήρεας δέ, τοὺς περιλείχοντας. καὶ ἀνιγροὺς, τοὺς ἀνιαρούς. Παρδαλιαγχὲς, λέγεται τὸ ἀκόνιτον, ἐπειδὴ τούτῳ αἱ παρδάλεις γευσάμεναι, ἀποπνίγονται, ὥσπερ οἱ ἀγχόμενοι. διὸ ἡ τῶν ἀνθρώπων κόπρος θεραπεύει. οἱ δὲ νομεῖς καὶ οἱ βουπελάται, παρδαλιαγχὲς αὐτὸ ἔθηκαν, ἐπεὶ τοῖς θηρίοις τοῖς πελώροις, τουτέστι ταῖς παρδάλεσι ταῖς μεγάλαις, παρδαλιαγχὲς πότμον αὐτὸ ἔθηκαν. Βουπελάται δὲ, οἱ βουκόλοι, παρὰ τὸ πλησιάζειν ταῖς βουσὶ, καὶ κολλᾶσθαι αὐταῖς. Ἰστέον ὅτι ἡ πάρδαλις ἐὰν φάγῃ τὸ ἀκόνιτον, ἀναιρεῖται. οὐ πρότερον οὖν ἐσθίει ἐξ αὐτοῦ, εἰ μὴ ἔχει πλησίον κόπρον ἀνθρωπείαν. ταύτῃ οὖν κέχρηται ἀντιφαρμάκῳ. οἱ οὖν νομεῖς ἐξάπτουσι τὴν κόπρον εἰς ξύλον, [illegible] ὕψος, ὅθεν οὐ δύναται ἡ πάρδαλις πηδῶσα φθάσαι. ὁρῶσα οὖν τὴν κόπρον, ἅτε θαρροῦσα ἔχειν τὸ ἀντιφάρμακον, τρώγει τὸ ἀκόνιτον. εἶτα ὁρμᾷ ἐπὶ τὸ χρήσασθαι τοῦ ἀντιφαρμάκου. καὶ οὐκ ἐφικνεῖται αὐτοῦ, ἤγουν οὐχ ἅπτεται αὐτοῦ διὰ τὸ ὕψος. οὕτως οὖν σφαλλομένη, καὶ πηδῶσα λαβεῖν τοῦ ἀντιφαρμάκου,

καὶ

καὶ μὴ δυναμένη διὰ τὸ ὕψος, ἀποθνήσκει, ἢ ἀδυνατεῖ. ἄδυνον γὰρ τὸ ζῶον φύσει. καὶ οὕτως αὐτὴν σφάζουσιν οἱ νομεῖς.

Οἱ δέ τε παρδαλιαγχές. ἰστέον ὅτι ἡ πάρδαλις ἂν φάγῃ τὸ ἀκόνιτον, ἀναιρεῖται. καὶ οὐ στερεῖται ἐσθίειν αὐτό, εἰ μὴ ἔχει κόπρον ἀνθρωπείαν ἀκονιταίοις, ἐν τοῖς τόποις οἷς γίγνονται αἱ ἀκόναι. ταύτας δὲ τὰς ἀκόνας, οἱ μὲν, ἐν ἡρακλεία φασὶ γίγνεσθαι. οἱ δὲ, ἐν ἑρμιόνῃ. οἱ δὲ, ἐν ταναγρα. Ορόγκοις δὲ, τοῖς μετεώροις τόποις, ἀπὸ τοῦ τὰς ὀφρυοὺς τόπους ὄγκους ἔχειν. ἢ τοῖς τόποις τοῖς ἐξοχὰς ἔχουσιν. ἐντεῦθεν δὲ λέγοντες τὰ βοηθήματα, καὶ ἀντίδοτα τοῦ ἀκονίτου. Τῷ καί που τιτάνοιο. παρίστησιν ἐνταῦθα τὰ βοηθήματα τοῦ ποτίσματος τοῦ ἀκονίτου. καὶ φησὶ δράκμαι κονίας ἀσβέστου μισγομένην οἴνῳ, βοηθεῖν τῷ πεπωκότι. τίτανος γὰρ ἡ ἄσβεστος. Ὅτε νέκταρ κιῤῥόν. ὅτε οἶνον πυῤῥὸν ἐν βυβλίνῳ μετρητὸν, ἀντὶ τοῦ μετρήσας, ἀφύσῃς. Θάμνου δὲ, ἤγουν τοῦ θαμνώδους, ἢ τοῦ θαμνώδη φύλλα ἔχοντος. Χλοεροῦ πρασίοιο. δύο γένη εἰσὶ τοῦ

ἴδης ἐν κνημοῖσι φαλακραίης ἐνὶ βήσσης
πολλάκι θηλυφόνον τε καὶ κάμμορον. ἐν δ' ἀκοναίοις
θηλείην ἀκόνιτον ἀνεβλάστησεν ὀρόγκοις.
τῷ, καί που τιτάνοιο χροὸς βάρος ἔσσεται ἄλκαρ
πιμπλαμένης. ὅτε νέκταρ ἐΰτριβι κιῤῥὸν ἀφύσσαι
μετρηδόν. κοτύλη δὲ πέλει κατα [illegible] οἴνης.
σὺν δὲ καὶ ἀβροτόνοιο ταμὼν ἀπὸ καυλέα θάμνου
καὶ χλοεροῦ πρασίοιο. τὸ δὴ μελίφυλλον ὑδεῦσι.
καί τε σὺ πρηϋντος ἀειθαλέος χαμελαίης
βλάστην, πηγάνιόν τε πίοις ἐνὶ βράμμασι σίμβλων.

σίον ἀνθρωπείαν. ταύτῃ γὰρ κέχρηται ἀντιφαρμάκῳ. οἱ οὖν νομεῖς περιάπτουσι τὴν κόπρον εἰς δένδρον τοσοῦτον ὕψος, ὅσον οὐ δύναται ἡ πάρδαλις πηδῶσα φθάσαι. ὁρῶσα οὖν ἡ πάρδαλις τὴν κόπρον, ἅτε δὴ θαῤῥοῦσα ἔχειν τὸ ἀντιφάρμακον, ἐσθίει τὸ ἀκόνιτον. εἶθ' ὁρμᾷ πρὸς τὸ χρήσασθαι τῷ ἀντιφαρμάκῳ, οὐ φθάνει δὲ διὰ τὸ ὕψος, οὕτως ἐφαλλομένη καὶ πηδῶσα λαβεῖν τὸ ἀντιφάρμακον, καὶ μὴ δυναμένη, ἤγουν μὴ καταλαμβάνουσα διὰ τὸ ὕψος, ἀδυνατεῖ. καὶ οὕτω φθάνοντες αὐτὴν ἀναιροῦσιν οἱ νομεῖς.

Ἴδης ἐν κνημοῖσιν, ἐν τοῖς τόποις τῆς Ἴδης. κορυφαὶ δὲ, ἤγουν ἐξοχαὶ τῆς Ἴδης τέσσαρες, φαλάκρα. λεκτόν. σίγειον. γάργαρον. φαλάκρα δὲ, ἀκρωτήριον Ἴδης. διὸ καὶ ὁ Λυκόφρων φησὶν, Αἱ φαλακραῖαι κόραι. Θηλύφονον. ὅτι ἐὰν ἅψηται μορίου θήλεος, διαφθείρει τὸ ζῶον. παντὸς φησὶ ζώου θήλεος εἰς τὴν φύσιν ἐντιθέμενον τὸ ἀκόνιτον, φθορᾶς αἴτιον γίγνεται. Κάμμορον δὲ, κακῷ μόρῳ ἀναιροῦν. Ἐν δ'

πρασίου. δηλοῖ δὲ τὸ, ποῖον βούλεται. φησὶν οὖν τὸ μελίφυλλον. ἔστι δὲ τοῦτο πικρὸν, οὗ τὰ φύλλα σὺν οἴνῳ ἑψήσας, πληρώσας τὴν χεῖρα. ἢ ἀβροτόνου, καὶ ποτήριον πληρώσας, δὸς πιεῖν. Ἀειθαλέος δὲ, ὅτι ἀεὶ χλωρά ἐστιν ἡ χαμελαία καλουμένη βοτάνη. τοῦ δὲ πηγανίου εἴδη εἰσὶ δύο. ἄδηλον δὲ ποῖον λέγει. ὅμως δὲ καὶ αὐτὸ ληφθὲν εἰς ἥμισυ βάθος χειρὸς πλήρωμα, καὶ μετ' οἴνου ἑψηθὲν, ἢ μέλιτος, καὶ τεσσάρων ποτηρίων, ἤγουν κοτυλῶν ποθὲν, ὠφελεῖ. Αἰθαλόεντα μύδρον, πεπυρακτωμένον σίδηρον, ἤγουν κεκαυμένον ἐναποσβεννὺς φησὶν εἰς ὕδωρ, πῖνε. Τρύγα δὲ, τὴν σκωρίαν λέγει. πᾶν δὲ ὑγρὸν, βάμμα καλεῖται. σημείωσαι ὅτι μόνον βάμμα τὸ ὄξος. εἰ δὲ μετά τινος δηλοῖ ᾧ μέμικται, τὴν σκωρίαν τοῦ σιδήρου τρύγα φησὶν, ἣν ἐν τῇ καμίνῳ ἡ τοῦ πυρὸς φλὸξ ἐχώρισεν ἀπὸ τοῦ σιδήρου. τὸ μὲν γὰρ τοῦ χωνευομένου, καθαρόν ἐστι. τὸ δὲ, ἀκάθαρτον. διὸ καὶ διχῆ εἶπε. καὶ ταύτην δὲ σβέσας, ἐν μέλιτι, πότιζον τὸ ἀπόβαμ

μα αὐτῷ τὸν καμμύοντα. καὶ χρυσοῦ δὲ ἢ ἀργύρου τὸ βάμμα τοῦ ἐληλασμένου καὶ ζέοντος. Τήν τε καμίνων. ἥν τινα ἔνδοθεν τῶν καμίνων τοῦ χωνευτηρίου διχῆ ἤλασεν ἡ τοῦ πυρὸς λιγνύς. Καὶ χρυσοῦ δέ φησιν ἀπόβαμμα ἢ ἀργύρου πινόμενον, ὠφελεῖ. λιγνὺς δέ ἐστι κυρίως, τὸ καπνῶδες τοῦ πυρός. νῦν δὲ αὐτὴ ἡ φλόξ.

περιπλύνοντος τοῦ λίπους, πλήρωσον τὸ ποτὸν ζωμοῦ. καθ᾽ ὑπερβολὴν δὲ ὁ τοιοῦτος ζωμὸς ὠφελεῖ. Βλασάμοιο. βαλσάμου φησὶ τὸν ὀπὸν δεῖ πίνειν μετὰ γάλακτος γυναικείου, ἢ μετὰ ὕδατος. Θηλύτερης δὲ πώλοιο, νέας γυναικός φησι, καὶ οὐ πώλου ἵππου. ὅτι δὲ χρήσιμον τὸ γυναικεῖον γάλα, καὶ Ἐρασίστρατος μαρτυρεῖ ἐν τῷ περὶ θανασίμων. τὸ δὲ ἑξῆς, ἐν ταῖς σταγόσι τοῦ βαλσάμου πρὶν χέας γάλακτος θηλυτέρας πώλου, ἤτοι τῶν ἀνθρώπων.

Σβεννύς τ᾽ αἰθαλόεντα μύδρον χλιόεντι πυράγρης.
Ἠὲ σιδηρείας αὖ ἀπὸ τρύγα, τήν τε καμίνων
Ἔντοσθεν χοάνοιο διχῆ πυρὸς ἤλασε λιγνύς.
Ἄλλοτε δὲ χρυσοῖο νέον βάρος ἐν πυρὶ θάλψας,
Ἠὲ καὶ ἀργύρεον, θολερῷ ἐνὶ πώματι βάπτοις.
Πολλάκι δ᾽ ἡμιδαὲς χειρὸς βάρος αἴνυσο θρίων
Παῦρα χαμαιπίτυος. τότ᾽ ὀνίτιδος αὖον ὀρείνης.
Ἠὲ νέον ῥάδικα πολυκνήμοιο κολούσας,
Τέτρασιν ἐν κυάθοισι χαδεῖν μελιηδέος οἴνου.
Ἠὲ σὺ μυελόεντα χαλικρότερον ποτὸν ἴσχοις.
Ὄρνιθος στρουθοῖο κατοικάδος. εὖθ᾽ ὑπὸ χύτρῳ
Γυῖα καταθρύπτῃσι βιαζομένης πυρὸς αὐγῆς.
Καί τε βοὸς νεαγεῦντα περιφλιδόωντος ἀλοιφῇ
Τηξάμενος κορέσαιο ποτῷ, ἐγχανδέα νηδύν.
Ναὶ μὴν καὶ βλασάμοιο. τότ᾽ ἐν σταγόνεσσι γάλακτι
Θηλυτέρης πώλοιο χέας ὀπόν. ἄλλοτε νύμφαις.
Εὖ τ᾽ ἂν ὑπ᾽ ἐκ φάρυγος χεύῃ παναεργέα δόρπον.

Θρίον. θρία δὲ, ἰδίως μὲν τὰ φύλλα τῆς συκῆς. ὥσπερ οἴναρα τὰ τῆς ἀμπέλου. νῦν δὲ τῆς χαμαιπίτυος φησίν. ἣ καὶ ὀνόπορος, καὶ σιδηρῖτις λέγεται, καὶ ἰονία ἀγρία. ὀνίτιδα λέγει, τὸ ὀρίγανον. δύο δὲ γένη ὀριγάνου ἡμεῖς χρώμεθα. ὃ καὶ ἥμερον λέγεται. ὃ καὶ οἱ ὄνοι ἐσθίουσιν. ὃ καὶ παρείληφεν. ὃ καὶ ὀνίτις λέγεται. ἧς λαμβάνειν κελεύει τὰ φύλλα εἰς ἥμισυ πληροῦντα τὸ βάθος τῆς χειρός. ἢ τοῦ πολυκνήμου, ἢ τῆς χαμαιπίτυος. καὶ μετὰ τεσσάρων κοτυλῶν οἴνου ποτίζειν.

* Θρία κυρίως τὰ τῆς συκῆς φύλλα. νῦν δὲ τῆς χαμαιπίτυος φησίν, ἣ καὶ ὀνόπορος καὶ σιδηρῖτις λέγεται, καὶ ἰωνία ἀγρία.

Ῥάδιξ, ἡ ῥάβδος. πολύκνημον δέ ἐστιν οὕτω τις βοτάνη παρὰ τοῖς ῥιζοτόμοις λεγομένη. δύο δὲ αὐτοῦ διαφορὰς εἶναί φασιν οἱ τὰ ῥιζοτομικὰ γράψαντες. Μυελόεντα, τὴν τῆς ἑψήσεως σύντηξιν τῶν ὀρνιθείων σαρκῶν, ἢ τὸν ὡς μυελὸν γιγνόμενον ἀπὸ τῆς ἑψήσεως, ἢ ἐκ τῆς συνεψήσεως. κελεύει δὲ τὰ κατοικίδια ὄρνιν ἑψεῖσθαι, ἕως ἂν τακῇ αὐτοῦ τὰ κρέα, καὶ γένηται ὡς χυλὸς, καὶ οὕτω προσφέρεσθαι τὸν ζωμόν. Καί τε βοὸς καὶ μοσχαρίου κρέατος ἑψήσας περισφριγῶντος καὶ

* Καὶ Ἐρασίστρατος ἐν τῷ περὶ θανασίμων, χρήσιμον εἶναι λέγει τὸ γυναικεῖον γάλα.

Χεύῃ παναεργία δόρπον. προσμίξῃ πιὼν τούτων ἕκαστον προσφερόμενον χρησίμως οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τὸ ἐμέσαι. Παναεργία δὲ,

Πολλάκι δ' ἢ σκίνακος δεδεγμένος ἠὲ νεβροῖο
γαστέρα τμήξαιο. πόροις δ' ἐνὶ νέκταρι φύρσας.
Ἄλλοτε καὶ μορέης ἀπὸ ῥίζια φοινικοέσσης
Ὅλμῳ ἐνὶ στύπει προβαλὼν καὶ ὁμήρεα κόψας
Οἴνῳ ἐνεψηθέντα πόροις καμάτοισι μελίσσης.
Καί κεν ἐπικρατέουσαν ἐπαχθέα νοῦσον ἀλάλκοις
Φωτός. ὁ δ' ἀσφαλέεσσι πάλιν μετὰ ποσσὶν ὁδεύοι.
Δεύτερα δ' αἰγλήεντος ἐπιφράζευ πόσιν ἐχθρὴν
Κιρναμένην ὀλοοῖο ψιμμυθίου. ἥ τε γάλακτι
Πάντοθεν ἀφρίζοντι νέῳ εἰδομένη χροιήν.
Πελλίσιν ἐν γρώνοισιν ὅτ' εἴαρι πῖον ἀμέλξαις.
Τοῦ μὲν, ὑπὲρ γένυάς τε καὶ ἣ ῥυσαίνεται οὖλα
Ἀφρὸς ἐπισύφων ἐμπάσσεται. ἀμφὶ δὲ ὁλκὸς
Τέτρηχε γλώσσης νέατος ὑποκάρφεται ἰσθμός.
Ξηρὰ δ' ἐπιλλίζων ὀλοῇ χελύσσεται ἄτῃ.
Ἀβλεμὲς, ἢ γὰρ ἐκεῖνο πέλει κάρος. αὐτὰρ ὁ θυμῷ
Ναυτίας ὀλοοῖσιν ὑποτρύει καμάτοισιν.
Πολλάκι δ' ἐν φαέεσσιν ἄλλα ἑτερόεα λεύσσων.

γία δὲ, ἀργὸν, ἀνέψυκτον, ἀδιέργαστον, ἀδιάπεπτον. Δορκυνίου δὲ, τοῦ ὁρῶντος ἐν τῷ κοιμᾶσθαι. τοῦ δορκυνίου φησὶ σκίνακος, ὅ ἐστι τοῦ σκιρτητικοῦ λαγωοῦ τοῦ ἐν τῷ κοιμᾶσθαι βλέποντος, καθάπερ καὶ ὁ λέων, καὶ ὁ ὄφις. Ἄλλοτε καὶ μορέης. καὶ συκαμίνου προστάσσει τὰς ῥίζας λαμβάνειν, καὶ ἐν ὅλμῳ ξυλίνῳ κόπτειν ὁμοῦ, καὶ ἑψεῖν μετ' οἴνου, καὶ διδόναι πιεῖν. Δεύτερα δ' αἰγλήεντος ψιμμυθίου. τοῦ ψιμμυθίου φαρμάκου ἡ χροιὰ, λιπαρῷ γάλακτι ἔοικεν ἀμελχθέντι νεωστὶ ἐν κισσυβίῳ, καὶ ἔτι ἀφρίζοντι. Πελλίσι δὲ, σκαφίσι, ποιμενικοῖς ἀγγείοις, ἐν οἷς τὸ γάλα ἀμέλγεται. Ὅμηρος, Περιγλαγέας κατὰ πέλλας. Γρώνῃσι δὲ, κοίλαις, καὶ βαθείαις, καὶ λιθικαῖς. Τοῦ μὲν ὑπὲρ γένυάς τε. τούτου φησὶ τοῦ λαμβάνοντος τὸ δηλητήριον τοῦ ψιμμυθίου τὰ ἔνδον τῶν σιαγόνων, καὶ ὅπου τὰ οὖλα ῥυσαίνηται, ὁ ἀφρὸς τοῦ ψιμμυθίου ἐπισύφων ἐμπλάζει. Ἄλλως. οὐ τὰς ἐκτὸς λέγει, ἀλλὰ τὰς ἐντὸς, ὅπου δι' ὀδόντες εἰσί. διὸ καὶ ῥαδίως ῥυτιδοῦνται, ὑπὸ τοῦ ψιμμυθίου ψυχόμεναι ὡς ξηρανθεῖσαι. ὁ δὲ ἀφρὸς αὐτοῦ ὡς λεπτομερὴς περικαθίζει τοῖς οὔλοις. Ἀμφὶ δὲ ὁλκός. ὁλκὸς περιφραστικῶς τὸ μῆκος καὶ ἡ παράτασις τῆς γλώσσης. ἡ μὲν γλῶσσά φησι τραχύνεται, ὁ δὲ νέατος ἰσθμὸς, τουτέστιν ὁ ἔσχατος, ἤγουν τὰ παρίσθμια, ἃ λέγεται ἔνδον εἶναι τοῦ φάρυγγος, ξηραίνεται καὶ τραχύνεται. Ξηρὰ δὲ βήσσων διὰ χέλυος, τουτέστι τοῦ στήθους τὴν ἀναφορὰν τῶν ἐρυγμάτων ποιεῖται ἄπαυστον. καὶ Ἱπποκράτης, ἀναχελύσσεται, καὶ ἐρυγγάνει θαμινὰ πνεύματα.

* Διὰ χέλυος. τουτέστι τοῦ στήθους τὴν ἀναφορὰν τῶν ἐρυγμάτων ποιεῖται. καὶ Ἱπποκράτης. ἀναχελύσσεται καὶ ἐρυγγάνει θαμινά.

Ἀβλεμὲς δὲ, ἀντὶ τοῦ ἀδρανές. ὡς ἀπὸ τοῦ βλεμεαίνω. Ἄλλοτε ἑτερόεα, πλάνῃ ἀλλοιότερα βλέπει. ἐνεργημάτων μὴ ὑποκειμένων φησὶν ὁρατικὴν φαντασίαν γίνεσθαι. δοκεῖ δὲ τοῖς ὀφθαλμοῖς ὁρᾶν φανταζόμενος μὴ ὑποκειμένων ἐνέργειαν τινῶν πραγμάτων. Ἄλλοτε δ' ὑπναλέος. ἄλλοτε δὲ ὥσπερ κοιμώμενος ἀποψύχεται τὸ σῶμα καὶ ψυχροῦται ὅλος καταβαρυνόμενος ὕπνῳ. τῷ

καμάτῳ δὲ εἴκων, ὑποδάμναται. Πρημαδί-
νης. πρημαδίνη, καὶ ὀρχὰς, καὶ μυρτίνη, εἴδη ἐλαι-
ῶν εἰσιν. οὐδὲν δὲ διαφέρει ἐκ τούτων λαμβάνειν
τὸ ἔλαιον, ὃ δὴ ὀπτείας φησί. οἱ γοῦν περὶ τούτων
πεπραγματευμένοι, ψιλῶς, ἀντὶ τοῦ φανερῶς
παρεκέλλουσιν. Εἴαρ, ὑπὸ τῶν νεωτέρων τὸ
αἷμα. καὶ Καλλίμαχος,
ἐλαίας τὸ αἷμα τὸ δαῦον
εἶπε. Πολλάκι δ' ἐκ λί-
χνου πῖον ἔλειξαν ἔαρ. καὶ
ἡ μυρτίνη. ἡ δὲ ἐλαία ἐστὶ
βραχὺν ἔχουσα καρπόν.
*° Πρημαδίνη, καὶ ὀρχὰς,
καὶ μυρτίνη, ἐλαιῶν εἰσὶν
εἴδη. ἔαρ δὲ, τὸ αἷμα, τὸ
λίπος. ὡς καὶ Καλλίμαχος
Πολλάκι δ' ἐκ λύχνου πῖ-
ον ἔλειξεν ἔαρ.
Ἀπραΐνοιο γρηῦν. τὸν πε-
πηγότα ἀφρὸν τοῦ γάλα-
κτος ἀπὸ γραίου. ἤτοι τὸ
πεπηγὸς τοῦ γάλακτος ἀ-
πογραῖσον. γραῦς δὲ,
ὁ ἐπὶ τοῦ γάλακτος γι-
νόμενος πάγος. ἐπειδὴ
ῥυτιδοῦται ὥσπερ ταῖς
γραυσὶ τὸ σῶμα συμβαί-
νει ῥυτιδοῦσθαι, τὸ ἐπιπλά-
ζον τῷ γάλακτι. οἱ δὲ Σι-
κελοὶ, σύφαρα καλοῦσιν,
ἀφιλοῦ, καὶ οὕτω δὸς πιεῖν. Χυλῷ ἐνικλώθοντι.
τῷ ὡς νῆμα κλωθομένῳ χυλῷ τῆς μαλάχης μετ'
οἴνου κόρεσον. Τὸν κακηπελέοντα, ἤτοι τὸν κα-
κῶς ἔχοντα. Ἠὲ σὺ κλυματόεσσαν. κελεύει κο-
νίαν ἀπὸ κλημάτων πλύναντα, κεκαμένῳ
καλάθῳ διυλίζειν, καὶ μεθ' ὕδατος θερμαίνον-
τα, διδόναι πίνειν. δοκεῖ δὲ ἡ κονία ἤγουν ἡ
τέφρα, ἤτοι στακτὴ, ἀπορρύπτειν ἀπὸ τῶν σω-
μάτων πᾶν τὸ προσπλακαμένον τοῦ ψιμμυθίου
τοῖς σπλάγχνοις. Ῥύμμα δὲ τὸ μίγμα, τὸν ῥύ-
πον. φησὶ δὲ πλύνεσθαι τὴν τέφραν τὴν κλημα-
τίνην, καὶ δεχθεῖσαν ἐν τοῖς κόλποις τοῦ νεοπλο-
κέος καλάθου, διὰ τὴν ὕλην. Σκληρὰ ἀπὸ
περσείης. γράφεται καὶ, ξηρὰ ἀπὸ περσείης. ἐν τοῖς
τῶν περσέων λέπεσιν οἱ πολλοί, ὀστέον καλοῦ-
σιν. ἔστι δὲ ὅμοιον καρύῳ. Θεόφραστος οὖν ἐν
τῷ τεσσαρισκαιδεκάτῳ τῶν φυτικῶν, κά-
ρυον αὐτὸ προσηγόρευσε. κάρυα δὲ λέγοντες,
ὅλα τὰ ξυλώδη λέπη ἔχοντα. περσείης δὲ εἶ-
πε, τὸ ἀρχαῖον ἀπὸ τοῦ θεοδοσιακοῦ Νικάν-
δρου μεταγεγραμμένον.

Ἄλλοτε δ' ὑπταλέος ψύχει δέμας. οὐδ' ἔτι γυῖα
Ὡς τὸ πάρος δονέει. καμάτῳ δ' ὑποδάμναται εἴκων.
Τῷ καὶ πρημαδίης, ἢ ὀρχάδος εἴαρ ἐλαίης.
Ἢ ἔτι μυρτίνης χεδίην δεπάεσσιν ὀρέξαις.
Ὄφρ' ἂμ ὀλισθήνασα χέῃ κακὰ φάρμακα νηδύς.
Ἠὲ σύ γ' οὐθατόεντα διοιδέα μαζὸν ἀμέλξας
Ῥεῖα πόροις. ψιλῷ δὲ ποτῷ ἀπραΐνοιο γρηῦν. (ξας
Καὶ σύ δέ τ' ἢ μαλάχης ῥαδάμνους ἢ φυλλάδα τῆς
Χυλῷ ἐνικλώθοντι, κακηπελέοντα κορέσσαις.
Πολλάκι στόμα κόπτε. πόροις δ' ἐν νέκταρι καὶ τά.
Ἠὲ σὺ κληματόεσσαν ἐν ὕδατι πλείονι τέφρην
Θαλπομένην. τὸ δὲ ῥύμμα νεοπλεκέος καλάθοιο
Κόλποις ἐκμάξας, ὃ γάρ τ' ἀναδέξεται ἰλύν.
Καί τε καταστριφθέντα μετ' ἀργῆεντος ἐλαίου,
Σκλήρ' ἀπὸ περσείης κάρυα βλάβος οἶον ἐρύξει.

* Κάρυα λέγοντες ὅσα ξυλώδη λέπη ἔχου-
σιν. οὕτω γοῦν καὶ Θεόφραστος τὸ τῆς περσείας
ὀστοῦν ὠνόμασεν.

Περσεὺς ὤν φησι. τῶν ἄλλων ἱστορούντων αὐ-
τὴν καταφυτεῦσαι τὸν Περσέα ἐν αἰγύπτῳ, ὡς
καὶ Καλλίμαχος, Καὶ ἤπατι Περσέος ἐπώνυ-
μος. ἣν ὀρόδαμνον) αἰγύπτῳ κατέπηξεν, ὁ Νίκαν-
δρος φησὶν ἐν μυκήναις καταφυτευθῆναι.
* Ὅτι ὁ Καλλίμαχος ἐν αἰγύπτῳ φησὶ τὸν
Περσέα

Πρωτέα μεταφυτεῦσαι τὸ φυτόν. ὁ δὲ Νίκανδρος ἐν μυκηναίοις.

Γονόεντα δὲ Μεδούσης. ἐπειδὴ ὁ αὐχὴν τῆς Μεδούσης γοργόνος ἀποτμηθεὶς, ἐγέννησε τὸν χρυσάορα, καὶ τὸν πήγασον ἵππον, ὡς Ἡσίοδος. ἐκ γὰρ τοῦ αἵματος αὐτῆς, οὗτοι ἐγένοντο. Μύκης

πιεῖν τοῖς νοσοῦσι πινομέναις. ὅθεν καὶ τὸ, ἀκοστήσας, δίον κριθιάσας. ἢ ἴαμα τῆς συστάσεως ἰυρῶν. Γερραίης δὲ, τῆς ἀῤῥαβικῆς. γέῤῥα γὰρ πόλις τῆς ἀῤῥαβίας. Λιβάνοιο δὲ χύσιν, ἐπεὶ περιπήγνυται τοῖς κλάδοις τὸ δάκρυον τοῦ λιβάνου. Καρύης δὲ, οἱ μὲν, τῆς καθ' ἡμᾶς λεγο

Περσεὺς ἥν ποτε χερσὶ λιπὼν κηφηΐδα γαῖαν,
Αὐχέν' ἀποτμήξας ἅρπῃ γονόεντα Μεδούσης.
Ῥεῖα μυκηναίῃσιν ἐνήξησεν ἀρούρης.
Κηφῆος νέα δῶρα. μύκης ὅθι κάππεσεν ἅρπης.
Ἄκρον ὑπαὶ πρηῶνα μελανθίδος. ἔνθα τε νύμφη
Λαγγείη πόμα κεῖνο Διὸς τεκμήρατο παιδί.
Πολλάκι δ' ἐνθρύψας σὺν ὀπταλέῃσιν ἀκοσταῖς,
Γερραίης λιβάνοιο χύσιν περιπηγέα θάμνοις,
Καί τε σύ γ' ἢ καρύης ἀποδάκρυον, ἢ ἀταλύμνου,
Ἢ πτελέης. ὅτε πολλὸν ἀεὶ καλλείπεται ὄχαις
Κόμμι. τὰ δὲ χλιόεντα ποτῷ ἐπαρωγέα τῆξον.
Ὄφρα τὰ μέν τ' ἐρύγῃσι. τὰ δ' ἑψητοῖσι δαμασθεὶς,
Ἀλθήσῃ ὑδάτεσσιν ὅτ' ἐκμήνῃ δέμας ἱδρώς.
Καί κεν, ὅτ' ἄλλοτε δόρπα δεδεγμένος. ἄλλοτε δ' οἴ
Πιοτέρης κορέοιτο, καὶ ἄλκεα πότμον ἀλύξαι. (νης
Μὴ μὲν κανθαρίδος σιτηφάγου εὖ τ' ἂν ὀδωδὴ,
Κεῖνο ποτὸν δέξαιο χυτῇ ἐναλίγκια πίσσῃ.

μένης καρύης. οἱ δὲ, ἄλλου τινὸς δένδρου ξυλολεπῆ φέροντος καρπόν. κάρυον δὲ ὁμωνύμως λέγεται καὶ τὸ δένδρον, καὶ ὁ καρπός. ὥσπερ ἐλαία, τό, τε κότινον, καὶ τὸ ἐσθιόμενον. Ἢ πτελέης. ἀπὸ κοινοῦ τὸ δάκρυον. Ὀσχοφόροι δὲ λέγονται ἀθλοῦσι παῖδες ἀμφιθαλεῖς ἁμιλλώμενοι κατὰ φυλάς. οἱ λαμβάνοντες κλήματα ἀμπέλου, ἐκ τοῦ ἱεροῦ τοῦ Διονύσου, ἔτρεχον εἰς τὸ τοῦ σκιῤῥάδος ἀθηνᾶς ἱερόν. νῦν δὲ ὁ Νίκανδρος ὄχας λέγει, τὰ τῶν πτελέων κλήματα. ὄχαι κυρίως οἱ κλάδοι τῆς ἀμπέλου. νῦν δὲ καταχρηστικῶς καὶ ἐπὶ τῆς πτελέας εἶπε τοὺς κλάδους ὄχας. Κόμμι δὲ, τὸ κομμίδιον. οὕτω γάρ ἐστιν ἡ σύστασις αὐτοῦ, ὡς κόμμεως. Ὄφρα τὰ μέν τ' ἐῤῥίγησιν. ὁ νοῦς

κυρίως τὸ [illegible]ρον τοῦ ξίφους, τὸ κατακλεῖον τὴν [illegible]. Ἄλλως. ἀπὸ τοῦ μύκητος τοῦ ξίφους φησὶ πεσόντος, ὠνομάσθη τὰς μυκήνας. τινὲς δὲ ἀπὸ ἡρωΐδος νύμφης, ἧς μέμνηται καὶ Ὅμηρος, Τυρώ τ' ἀλκμήνη τ', ἐϋστέφανός τε μυκήνη. Λαγγεία δὲ, κρήνη τοῦ ἄργους. Καὶ Διὸς παιδὶ, τῷ Περσεῖ. ζητῶν δὲ τὴν λαβὴν τοῦ ξίφους, περιέτυχε τῇ πηγῇ. Ἀκοσταῖς, πεφρυγμέναις κριθαῖς. Βούλεται δὲ καὶ τὴν ἐκ κριθῶν πτισάνην λέγειν. ἀκοσταῖς σὺν ταῖς κριθαῖς, παρὰ τὸ ἄκος

οὕτως. ὅπως φησὶ τὰ μὲν, ἐμέσῃ. τὰ δὲ, πέψῃ. ἐκλυθεὶς ἐν ἑψητοῖς ὕδασι, τουτέστι λουτροῖς. ὅτι γὰρ ὑγρανεῖ τὸ σῶμα ὁ ἱδρὼς, τουτέστι μετὰ τὸ ἱδρῶσαι αὐτὸν εἰς τὸν προμάλακτον, ἵνα εὐθέως ἐμβαίνῃ εἰς τὴν ἔμβασιν, καὶ χρονίσῃ μέχρις οὗ ἐκλυθῇ καὶ διαπέψῃ. Κανθαρίδος. κανθαρίδες εἰσὶ τὰ κοπροφόρα καὶ σιτοφόρα ζῶα, οἱ λεγόμενοι κάνθαροι. ὧν ἡ μὲν ὀσμὴ, ὁμοία ἐστὶ πίσσῃ χυτῇ, ὅ ἐστι τῷ ὑγροπίσσῳ. ἡ δὲ γεῦσις, κεδρίσει. μηδαμῶς οὖν φησι τὸ ἐκεῖνο

ἐκεῖνο τὸ πρὶν δεῖξαιο.

Τὰ ψήγματα δὲ τοῦ κέδρου, κεδρία λέγει καὶ ρ φυ. Αἱ δ᾽ ὅτε μὲν πλαδόωντι, ἀντὶ τοῦ ποτὲ μὲν δηγμὸν ποιοῦσιν ἐπὶ τοῖς διύγροις ποτοῦ ποθέντι τοῖς χείλεσι, ποτὲ περὶ τὰ νείατα καὶ ἔσχατα τῆς γαστρὸς, τουτέστι περὶ τὸ στόμα αὐτῆς, ἤγουν περὶ τὸν στόμαχον. οἱ μὲν οὖν στόμαχον. ἄλλοι δὲ πύλωρον. ἄλλοι δὲ δοχεῖον βρωμάτων τὴν γαστέρα ὀνομάζουσιν. ἐκ δὲ τοῦ στόμα, γίγνεται κατὰ συνεκδοχὴν τὸ στόμα. ὡς μηρία, μηρά. Χόνδρος, τοῦ στομάχου ἔντερον. ὅθεν καὶ ὑποχόνδριον φαμέν. ἢ μέρος τοῦ θώρακος, μεθ᾽ ὃ τὰ ὑποχόνδρια. ἀπὸ κοινοῦ δὲ τὸ δάκνεται. Ἄλλη δέ σφι. τὸ σφι παρέλκει. περιφραστικῶς δὲ ἤθεα φῶτα, ἀντὶ τοῦ τὸν φῶτα, ὅ ἐστι τὸν ἄνδρα. Οἷά τε δὴ γήρεα. οὕτω φέρεται αὐτῶν ἡ γνώμη, ὡς ἀκάνθης ἄνθος. γήρεα δὲ τὰ ἄνθη τὰ λευκὰ καὶ πλυνθῆ. Πάππος δὲ, ὁ καυλὸς αὐτῶν, διὰ τὸ ἐνθρύπτεσθαι καὶ πίπτειν. ἢ αὐτὴ ἡ σύστασις.

ῥάπιζαν, καὶ ἐκέρασεν αὐτῇ οἶνον ἐπὶ τῇ θλίψει. ἡ δὲ θεὸς οὐκ ἐδέξατο, λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτὴν οἶνον, ἐπὶ τῇ θλίψει τῆς θυγατρός. ἀλφίτων δὲ αὐτὴν κυκεῶνα ἐκέλευσε κατασκευάσαι. ὃν δεξαμένη, ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας, ῥαθυμοῦσαν τὴν θε

Πίοσκε δ᾽ ἐρώθωσιν ἄγει βάρος. ἐν δὲ χαλινοῖς
Οἷά τε δὴ κηφεῖα νέον βεβρωμένα κέδρου.
Αἱ δ᾽ ὅτε μὲν πλαδόωντα ποτῷ ἐπὶ χείλεϊ δηγμὸν
Τεύχουσιν. ποτὲ δ᾽ αὖ τε περὶ στόμα νείατα γαστρός.
Ἄλλοτε καὶ μεσάτη ἐπιδάκνεται ἄλγεσι νηδύς.
Ἡ κύστις βρωθεῖσα. περιψαύουσι δ᾽ ἀνίαι
Θώρηκος. τόθι χόνδρος ὑπὲρ κύτος ἕζετο γαστρός.
Αὐτοὶ δ᾽ ἀσχαλόωσ᾽, ἄλλῃ δέ σφιν ἤθεα φωτὸς
Ἄψυχος πεδάει. ὁ δ᾽ ἀελπέα δάμναται ἄταις.
Οἷά τε δὴ γήρεια νέον τεθρυμμένα πάππου,
Ἠέρ᾽ ἐπιπλάζοντα διαψαίρουσιν ἀέλλαις.
Τῷ δὲ σὺ πολλάκι μὲν γλήχω ποταμηίσι νύμφαις.
Ἐμπλήδην κυκεῶνα πόροις ἐν κύμβεσι τεύξας
Νηστείρης δηοῦς μορόεν ποτόν. ᾧ ποτε δηὼ
Λαυκανίην ἔβρεξεν ἀν᾽ ἄστυρον ἱπποθόωντος

Τῷ δὲ σὺ πολλάκι. περὶ φαρμάκων τῶν καθαρίδων. τούτῳ δὲ φησὶ τῷ φαρμακευομένῳ σὺ τὸν γλήχωνα ταῖς ποταμίαις νύμφαις τεύξας κυκεῶνα, τουτέστι γλήχωνα μετὰ ὕδατος. Ἐμπλήδην δὲ, ἀντὶ τοῦ πληρώσας. Πόροις, ὁ ἀσιδίδου. Νηστείρης δηοῦς. Ἰστέον ὅτι τῆς κόρης, ἤγουν τῆς Περσεφόνης ἁρπαγείσης ὑπὸ τοῦ Πλούτωνος, ἡ μήτηρ αὐτῆς ἡ Δηὼ, περιήρχετο νῆστις ζητοῦσα αὐτήν. ὑπεδέχθη δὲ ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόωντος, ὃς ἦν υἱὸς τοῦ Ποσειδῶνος διὰ ἀλόπης τῆς κερκύονος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας. ἥ τις Μετάνειρα παρέθηκεν αὐτῇ

ὃν ὁρῶσα, γελοιώδεις λόγους, καὶ σκώμματά τινα πρὸς τὸ γελάσαι τὴν θεὸν ἔλεγεν. ἦσαν δὲ τὰ ῥηθέντα ὑπ᾽ αὐτῆς ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα, ὅπερ αὐτῇ πρῶτον εἶπεν. διὸ καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι. ἰάμβη δὲ ἦν θυγάτηρ ἠχοῦς καὶ τοῦ πανὸς, θρᾷσσα τὸ γένος.

* Ἰάμβη δούλη Μετανείρας τῆς Ἱπποθόωντος γυναικός. ἥ τις τὴν Δήμητρα λυπουμένην ἰδοῦσα ἐπὶ τῇ ἀπωλείᾳ τῆς Περσεφόνης, εἶπέ τινα σκώμματα γελοιώδη ἐπὶ τῷ παραμυθήσασθαι. διὸ ἐκείνης οὖν καὶ τὸ μέτρον ἰάμβειον.

Μορόεν δὲ ποτὸν, τὸ ἐν κακοπαθείᾳ δοθέν. ὅτι

δὲ

δὲ διὰ γλήχωνος ἔπιεν ἡ Δημήτηρ τὸν κυκεῶνα, καὶ διὰ τὴν χλεύην ἰάμβης ἐγέλασεν ἡ θεά, ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις ὕμνοις λέγεται. Ἀθύροισιν, ὑπὸ τοῖς παιγνιώδεσι λόγοις τῆς θρακικῆς ἰάμβης, καὶ τὰ ἑξῆς. Εὐτροχάλοιο δὲ λίνου, τουτέστι τὴν κεφαλὴν ἑψηθεῖσαν

Θρηϊκίοις ἀθύροισιν ὑπαὶ ῥήτρῃσιν ἰάμβης.
Δήποτε δ' ἢ σιάλοιο καρήατος, ἠὲ καὶ ἀμνοῦ
Ἀμμίγδην σπεράδεσσιν ἐϋτροχάλοιο λίνοιο.
Ἠὲ νέον κόρσεια ταμὼν κεράεντα χιμαίρης,
Ἠέ τε πυχνωὸς μορόεν ποτὸν ἄννυσο χύτρου.
Ἐς δ' ἔμετον κορέσαιο. τὰ δ' ἀθρόα νειόθι βράσσοις,
Ἐμματέων, ἔτ' ἄπεπτα πύλῃ μεμιασμένα δόρπα.
Πολλάκι δ' ἐν κλυστῆρι νέον γλάγος οἰὸς ἀμέλξας,
Κλύζε. τὰ δ' ἤλιθα γαστρὸς ἀφόρδια κενώσαις.
Ἄλλοτ' ἀλυσθαίνοντι πόθεν γάλα πῖον ἀρήξει.
Ἠὲ σύ γ' ἀμπελόεντα γλυκεῖ ἐνὶ καυλέα κόψας,
Χλωρὰ νέον πετάλοισι περιβρίθοντα κολούσας.
Ἠὲ μελισσάων καμάτῳ ἐνὶ παῦρα μορύξαις,
Σκορπιόεντα ταμὼν ψαφαρῆς ἐκ ῥίζεα γαίης.
Αἰὲν κεντρήεντα, πόα γε μὲν ὕψι τέθηλεν
Οἷα περ μολόθουρος, ἐνίχνια δὲ καυλέα βάλλει.
Καὶ δὲ σὺ δραχμάων πισύρων βάρος ἄννυσο γαίης

σπέρματι λίνου, ἤτοι τῷ λινοσπέρμῳ καλουμένῳ. γράφεται καὶ, εὐτροχάλοιο λίνοιο. Μορόεν, ἢ πολυέψητον, ἢ μορίδιον, ἀντὶ τοῦ αἴσιμον, ὃ ἄν τις ἰδὼν τοῦ συμφέροντος ἐκλέξαιτο. ἢ τὸ ἁρμόζον τῷ πάθει. Ὅμηρος, Ἐπεὶ κατὰ μοῖραν ἔειπεν.
Εἰς δ' ἔμετον κορέσαιο, ἀντὶ τοῦ, ἕως ἐμέσῃς κορεσθέντι. τὰ δὲ φάρμακα, ἀθρόα κάτωθεν ἀναβάλλοις, τοὺς δακτύλους καθιεὶς διὰ τοῦ στόματος εἰς τὸν φάρυγγα. ἐμματεῖν γάρ ἐστι τὸ καθεῖναι τοὺς δακτύλους εἰς κοῖλον τόπον. Ὅμηρος,

Ἐδύσανὴρ, εἰς ἐμέ γε μάλιστ' ἐπιμάσασθαι τοῦ μὴν, τουτέστι καθῆψαι τῆς ψυχῆς, καὶ δεῖ ἐνίεσαι λιν εἰς τὴν αὐτῆς χεῖρα. ἐμματεῖν ἐστὶ τὸ εἴς τινα θεῖναι, καὶ ἅπτεσθαί τινος. βούλεται οὖν δηλοῦν, τὸ καθέντα τοὺς δακτύλους ἐμεῖν βιάζεσθαι ἔτι τοῦ ληφθέντος ἐν τῇ κοιλίᾳ προκειμένου, καὶ μήπω διὰ τῆς πύλης ὡρμηκότος πρὸς ἀνάδοσιν. ὅτε δὲ μετ' αὐτῆς τῆς τροφῆς συναναχεθήσεται καὶ τὸ φάρμακον. Μεμιασμένα δὲ δόρπα, ἀντὶ τοῦ ἄπεπτα, καὶ ῥυπαρά, καὶ μεμιασμένα τὰ δόρπα τοῖς ἰοβόλοις φαρμάκοις ἀναβάλλων ἐν τῇ πύλῃ τῆς γαστρὸς καθιεὶς τοὺς δακτύλους. Νέον γλάγος, νεωστὶ ἀμελχθέν. γάλα βαλὼν ἐν ἐργαλείῳ, δ ἐνιαμά φησι διὰ τῆς ἕδρας, ὅπως ὑπεράρδῃς τὴν γαστέρα. Ἀφόρδια δέ, τὰ ἀφοδεύματα. ἤλιθα δέ, τὰ ἀθρόα τοῦ ὅλου. ὥσπερ ἀθροίσματα, τὰ ἀθρόα τοῦ πάθους, ἤτοι τοῦ ὅλου. Ὅμηρος, Πάντων ἀνθρώπων ἀλιτήρων. Ἠὲ σύ γ' ἀμπελόεντα. κόψαι κελεύει κλήματα ἀμπέλου χλωρὰ σὺν τοῖς φύλλοις, καὶ ἐν γλεύκει ἢ μέλιτι ἑψήσαντι δοῦναι πιεῖν. τοῦτο δὲ προσδεκτέον. Ψαφαρῆς δὲ ῥίζεα γαίης, τῆς πεδιάδος καὶ ὀρεινῆς γῆς. ἐν τοιαύτῃ δὲ γῇ, ἡ βοτάνη γίνεται. Αἰὲν δὲ κεντήεντα, διαπαντὸς τραχύτητα ἔχοντα. Ὕψι, τουτέστι τοῖς κλωσὶν ὑψηλός. Ἡ μολόθουρος, βοτάνη ἐστίν, ἀκανθώδης δέ. διὸ καὶ Εὐφορίων φησί, Πτῶκες ἀειχλωροῖσιν ἰαύεσκον μολοθούροις. Ἐνίχνια δὲ καυλία, ἀντὶ τοῦ ἰχνιά, καὶ χαμαίδνα, καὶ λεπτὰ καυλία ποιεῖ. τὰ δὲ εἰς ὕψος ἀναθέχοντα φυτά, λεπτὰ καυλία ποιοῦσι.

Παρθενίας. οὐχ ἡ ἄλλη σάμος, ἀλλά τις ἐν αὐτῇ εὑρεθεῖσα γῆ. Φυλλὶς δὲ, τὸ καλούμενον γναφάλιον ἐν σαμοθράκῃ, καὶ μελιφύλλιον ἐκάλει τό. Νίκανδρος δὲ φυλλίδα καλεῖ. κελεύει οὖν τέσσαρας δραχμὰς σαμίας λαμβάνειν. παρθενία δὲ ἡ σάμος ἐκαλεῖτο, καὶ φυλλὶς μία τῶν νυμφῶν. τὸν σάμιον ἀστέρα λέγει, ὃν δοκεῖ κριὸς ἐν σάμῳ εὑρηκέναι. Φυλλὶς δὲ ἡ σάμος. ἡ φυλλάδα τὴν βοτάνην ἰδίως καλεῖ, ἣν τινες μελίφυλλον φασὶν, ὡς τὸ χρήσιμον, ἀστὴρ λέγεται. ἡ φυλλὰς οὖν, ἡ μελάμφυλλός ἐστιν.

* Φυλλὶς τὸ καλούμενον γναφάλιον ἐν σαμοθράκῃ. Σοφοκλῆς. ἄμβρος δὲ ποταμὸς ἐν αὐτῇ.

Ἰμβρασίδος, τῆς σαμιακῆς. ἴμβρος γάρ ποτε ἐν σάμῳ, ὃν κριὸς λέγεται εὑρηκέναι. ταύτης δὲ τὸ χρησιμώτερον, ἀστὴρ καλεῖται. ὡς βούλεται ἡμᾶς ὁ Νίκανδρος λαμβάνειν.

Ἀμνὸς ἐστιν ὁ μηδέπω κέρατα ἔχων. πῶς οὖν αὐτὸς κεράσλαν εἶπεν αὐτόν. οὐκ ὀρθῶς; χηιάσι δὲ πρώτον ᾤκησαν ἐν σάμῳ. εἶτα ἀσυμπαλαιεῖς.

Παρθενίης, ἣν φυλλὶς ὑπὸ κνημοῖσιν ἀνῆκεν,
Ἰμβρασίδος γαίης χιονώδεος, ἥν τε κράγος
Ἀμνὸς χησιάδεσι νέον σημήνατο νύμφαις.
Κερκετέω νιφόεντος ὑπὸ σχοινώδεσιν ὄχθαις,
Ἢ ἐν σκαιοῖσι πόσιν διπληθέα πύξαις.
Σὺν δέ τε πηγανόεντας ἐνιθρύψαις ὀράμνους,
Ὀργάζων λίπεϊ ῥοδέῳ, θρόνα πολλάκι χραίνοις
Ἠρινέῳ, τό τε πολλὸν ἐπαλθέα νοῦσον ἔτυξεν.
Ἢν γε μὲν οὐλόμενόν γε ποτὸν κορίοιο δυσαλθὲς
Ἀφραδέως δεπάεσσιν ἀπεχθομένοισι πάσηται.
Οἱ μέν τ' ἀφροσύνῃ ἐμπληγέες, οἷά γε μάργοι
Δήμια λαβράζουσι, παραπλῆγες δ' ἅτε βάκχαι,
Ὀξὺ μέλος βώωσιν ἀταρμύκτῳ φρένας οἴστρῳ.
Τῷ μήτ' ἐξ ἐδανοῖο πόροις δέπας ἔμπλεον οἴνης
Πράμνιον αὐτοκερές, ὅπως ὑπετύψατο ληνοῦ.
Ἢ νύμφαις τήξαιο βαλὼν ἁλὸς ἔμπλεα κύμβην.

Διπλήρεα. διπλοῦν κελεύει τὸ σὺν τῶν τεσσάρων δραχμῶν δοῦναι, ὅ ἐστιν ὀκτὼ δραχμῶν. καὶ σὺν τῷ ἑψήματι πηγανίου, κλῶνας δοῦναι, καὶ ῥόδινον μύρον, ἢ ἴρινον μύρον. Ὀργάζων δὲ, ἀντὶ τοῦ μιγνύων τὴν γῆν τὴν παρθενίαν, ἢ καταβρέχων ἐλαίῳ ῥοδίνῳ τῷ ἀπὸ ἴριδος γινομένης μύρῳ, ἤγουν ἐλαίῳ. τουτέστι τὸ ῥόδιον ἔλαιον μίξας, ἀλλὰ τὸν μὲν πηγάνου κλάδων. Ἢν γε μὲν, ὡς πρὸς δεύτερον πρόσωπον ἀποτείνεται περὶ μίζον τινός. περὶ τοῦ ἀγρίου δὲ κορίου τῆς βοτάνης λέγει. εἰδὴ δὲ ταύτης εἰσὶ δύο, ἥμερόν τι, καὶ ἄγριον. ὧν τὸ μὲν ἥμερον, εὐώδης ἐστι, καὶ ἡδύ. τὸ δὲ ἄγριον, παραπλήσιον τῷ ἡμέρῳ. πλατυφυλλότερον δέ, καὶ εὐμηκέστερον, καὶ πολλὰς ἔχων παραφυάδας, καὶ πολύρριζον, καὶ πολυανθές. τοῦτο δὲ βρωθὲν ἢ ποθὲν, ἢ ἄλλως πως προσενεχθὲν, θανάσιμον. Ἀφραδέως δὲ εἶπεν, ὅ ἐστιν ἀφρόνως, καὶ ἀπείρως. τὸ δὲ χύλισμα τοῦ κορίου τῆς φύσεως ἀλλόκοτον ὑπάρχον, οὐ δύναταί τις λαθεῖν διδόμενον, εἰ μή τις αὐθαιρέτως αὐτὸ βουληθείη λαβεῖν ἐν καιρῷ περιστάσεως.

* Κόριον τὸ ἄγριον λέγει, ὅπερ πλατύτερα ἔχει φύλλα καὶ εὐμηκέστερόν ἐστι. καὶ πολλὰς ἔχει παραφυάδας. καὶ πολύρριζον, καὶ πολυανθές ἐστι.

Λαβράζουσιν, ἐν τῷ δήμῳ λάβρως φωνοῦσι. καὶ Ὅμηρος, Τί πάρος λαβρεύεαι; καὶ Αἰσχύλος, Μὴ λάβρος ἴσθι. παραπλῆγες δὲ, ἀντὶ τοῦ

τοῦ περιφρενοῦς. τὸ δὲ ἰξὺς, περὶ πᾶν γένος τῶν οἴστρων. ὁ δὲ οἶστρος, ζῶόν τί ἐστι ὅμοιον μεγίστῃ μυίᾳ, κέντρον ἔχον ὑπὸ μασοῦ. Ὀξὺ δὲ μύλος, τὸ διατεταμένον, καὶ μέγα. Καὶ ἀταρμύκτῳ, ἀφόβῳ. ἀπὸ δὲ τοῦ τάρβους καὶ τοῦ μύειν συντίθεται ἡ λέξις. Πράμνιος οἶνος, ἀπὸ ἀμ-

τείνουσιν. ὁ δὲ, τὸν ἀφρὸν λαβεῖν ἱέμενος, εἰς τὰς χεῖρας αὐτῶν ἔρχεται, καὶ οὕτω θηρεύεται. ὁ δὲ κέπφος, θαλάσσιόν ἐστιν ὄρνεον, παραπλήσιον λάρῳ, ὅπερ, ὡς εἴρηται, ὑπὸ τῶν ἁλιέων ἁλίσκεται. Ἀπαλὴν δὲ ὠδῖνα, τὴν στερουμένην βίας, ἐπεὶ τίκτουσιν ἐκτὸς ἀλγηδόνος. Ἀγλεύκην, ἀγλυκῆ καὶ πικράν. ἢ ἐστερημένην γλεύκους, ὅ ἐστι γλυκύτητος. Ἀτμεύειν δὲ, ὅ ἐστι δουλεύειν, ὑπηρετεῖσθαι. ὡς μῦθος γὰρ λέγει, ὅτι ἀνέμοις θάλασσα καὶ πῦρ δουλεύει. καὶ θάλασσα μὲν δεσπόζει νηῶν, πῦρ δὲ ὕλης. Ἀτμεύειν, δουλεύειν. ἀτμένες γὰρ οἱ δοῦλοι. ὅτι δὲ δουλεύει ἡ θάλασσα καὶ τὸ πῦρ ἀνέμοις κατὰ θεῖον νόμον δουλεύοντι, καὶ Μενεκράτης εἴρηκε. Πῦρ μὲν ἀείζωον καὶ τὸ ἀχύνετον ὕδωρ ἔτρεσε τῶν ἀργέσας, οἱονεὶ τῶν ἀνέμους.

* Δουλεύειν. ὡς καὶ ὁ μῦθος λέγει, ἀνέμοις θάλασσα καὶ πῦρ δουλεύει.

Πολλάκι δ' ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας,
Ἀφρὸν ἐπεγκεράσαιο, θοοῦ δ' ὀρπηκία κέπφου.
Τῷ γὰρ δὴ ζωήν τε φέροι καὶ πότμον ἐπισπεῖ.
Εὖτε δόλοις νήχοντα κακοφθόρα τέκν' ἁλιήων
Οἰωνὸν χραίνωσιν. ὁ δ' ἐς χέρας ἔμπεσε παίδων,
Θηρεύων ἀφροῖο νέην κλύδα λευκαίνουσαν.
Καί τε σύ γ' ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
Ἥν τε καὶ ἀτμεύειν ἀνέμοις πόρεν ἐννοσίγαιος
Σὺν πυρί. καὶ τὸ δὴ τὸ, πνοαῖς συνδάμναται ἐχθραῖς.
Πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
Ἀργέσας, καὶ δὴ μὲν, ἀκοσμήεσσα φιλοργός,
Δεσπόζει νηῶν τε καὶ ἐμφορέων αἰζηῶν.
Ὕλη δ' ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει.

πέλου πραμνίας, ἣν καὶ ψιθίαν τινὲς καλοῦσιν. Αὐτοκρηνὶς δὲ, ἀντὶ τοῦ αὐτοκόριστον. Ἀμιγὺς, ἄκρατον. Ἁλὸς δὲ ἔμπλεια κύμβην, ἀντὶ τοῦ πεπληρωμένον τοῦ θαλασσίου ὕδατος τὸ τρυβλίον. Τὸ δὲ ὀρταλίχων ἀπαλὴν, γράφεται καὶ ἀλαλήν. ἤτοι ὅτι ἐστέρηται τοῦ λαλεῖν, ἢ ὅτι χωρὶς στεναγμοῦ τίκτει. Πολλάκι δ' ὀρταλίχων ἁπαλὴν ὠδῖνα. νῦν τὰς ὄρνιθας λέγει. οὐ γὰρ τὰ νέπια δοκεῖ, ἀλλὰ τὰ τέλεια ἡ μήτηρ. κελεύει τὸ ὠὸν κενῶσαι, καὶ ἀφρὸν θαλάσσης συμμιγνύντα κεράσαι. ὅς τις ἀφρὸς τροφὴ τοῦ κέπφου ὢν, καὶ θανάτου αὐτῷ παραίτιος γίνεται. οἱ γὰρ ἁλιεῖς χερσὶ τὸ θαλάσσιον ὕδωρ ἀνακλύζοντες, ἀφρὸν προσενεγκεῖν καταναγκάζουσι. καὶ τοῦτον δολίως τῷ κέπφῳ προ-

τοῦτο δὲ καὶ Μενεκράτης καὶ Ἡράκλειτος λέγουσι. τὸ μὲν πῦρ ἀείζωον καὶ ἀχύνετον ὕδωρ ἔτρεσε τῶν ἀργέσας.

Ἀχύνετον δὲ, τὸ πολύχυτον. τὸ α γὰρ ἐπιτατικόν ἐστιν. ἐκτίθεται οὖν βούλεται διὰ τούτου Ἡρακλείτου, ὅτι πάντα ἐναντία ἀλλήλοις ἐστὶ κατ' αὐτόν. Ἀκοσμήεσσα, ἡ ἄκοσμος. ἡ ἄτακτος. ἡ μὴ κοσμίως κινουμένη. Φιλοργὴς δὲ, διὰ τὸ ῥοῶδες, ἡ φιλοῦσα ὀργίζεσθαι, καὶ ὀργᾶν, καὶ μαίνεσθαι διὰ τὰς τρικυμίας. Δεσπόζει νηῶν. τῇ γὰρ θαλάσσῃ ὑπόκειται τὰ πλοῖα. τῷ δὲ πυρὶ, ἡ ὕλη. Ἐμφορέων δὲ αἰζηῶν, τῶν ἐν θαλάσσῃ φερομένων. ἡ δὲ ὕλη, ὑπακούει, καὶ πείθεται κατὰ τὸν θεσμὸν τοῦ ἀχθομένου πυρός. οὐ καθόλου δὲ τὸ πῦρ ἀχθόμενον λέγει, ἀλλὰ τῇ ὕλῃ ἀχθό-

μένον, διὰ τὸ ἀφανίζεσθαι αὐτὴν ὑπ' αὐτοῦ.

Ἀτμενίην, πολυδούλευτον, καὶ πολυκατέργαστον. ἤγουν τὸ μετὰ πολλοῦ καμάτου διὰ τὴν τοῦ ἐλαίου σκευασίαν, ὃ οἱ δοῦλοι καὶ οἱ γεωργοὶ κατεσκεύασαν. οἱ δὲ, τὸ θαλάσσιον ὕδωρ, ἐπεὶ καὶ ἀνωτέρω εἴρηται. Ἤν τις καὶ ἀτμεύει. κελεύει δὲ ἔλαιον μιγνύντα μετ' οἴνου ποσὶ πεπατημένου πίνειν, ἢ χιόνα μετὰ γλεύκους. Ζάγκλῃσι, τοῖς δρεπάναις τῶν τρυγητῶν. Ῥυσαλέην δὲ, τὴν ἐρρυσωμένην, ἤγουν τὴν πεπανθεῖσαν, καὶ πέπειρον. Καὶ ἐλανοῖο, τοῦ γλυκυτάτου γλεύκους. Ψιθία δὲ, εἶδος ἀμπέλου, ἥτις καὶ πραμνία λέγεται.

* Ψιθίη, ἄμπελος ἡ καὶ πραμνία.

Καὶ ἐλίνοιο, τοῦ κλάδου τῆς ἀμπέλου κόπτοντες, πατοῦσι καὶ πιέζουσιν ὅτε ῥοιζηδὰ αἱ μέλισσαι μετὰ ταῖς ῥαξὶ τῶν βοτρύων πιοῦσαι, νέμονται τὸ γλεῦκος καὶ τὸ γάνος. Πεμφρηδὼν δὲ, ζῶόν ἐστι τῶν σφηκωδῶν, μεῖζον μὲν μύρμηκος, μελίσσης δὲ ἔλασσον. ἐπτέρωται δὲ, καὶ ποικίλην ἔχει λευκῷ καὶ μέλανι τὴν ἐπιφάνειαν. τοῦτο κατὰ τὴν ὀρφνὴν νεμόμενον, δρέπεται ἀπὸ τῶν ἐν τοῖς ἄγκεσι θάμνων παντοῖα ἄνθη. καὶ φερόμενον, εἰς τὰς κοίλας καθίπταται δρῦς. καὶ αἱ βεμβίδες δὲ, τῶν σφηκωδῶν εἰσιν εἶδος μελισσῶν, ἃς ἔνιοι βέμβικας καλοῦσι. ταῦτα δὲ πάντα, εἴδη μελισσῶν εἰσιν, ἃ δὴ ἐπιτίθενται πεπείρους ὄντας τοὺς βότρυας. Κνηκὰς δὲ, ἡ ἀλώπηξ, ἤγουν κακωτική. κακοτριβός. κακοῦργος, ἢ κλινασική. Καλλίμαχος, Κνηκάδι σὺν γλώσσῃ. Καί τε σὺ κωνείου.

Ναὶ μὴν, ἀτμενίοιό τε κραιόμενον λίπος οἴνῃ.
Ἢ χιόνι γλυκέος μίγδην πόσις, ἄλγος ἐρύξει.
Ἦμος ὑπὲρ ζάγκλῃσι περιβρίθουσαν ὀπώρην
ῥυσαλέην ἐλανοῖο καὶ ἐκ ψιθίης ἐλίνοιο
κείροντες θλίβουσιν, ὅτε ῥοιζηδὰ μέλισσαι
πεμφρηδών σφῆκές τε, καὶ ἐκ βέμβικες ὄρειαι,
γλεῦκος ἅλις δαίνυνται ἐπὶ τραγέεσσι πεσοῦσαι,
Ποτέρην ὅτε βότρυν ἐσίνατο κνηκὰς ἀλώπηξ.
Καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα.
Κεῖνο γὰρ οὖν δὴ γάρ τε καρήατι φοινὸν ἰάπτει,
Νύκτα φέρον σκοτόεσσαν. ἐδίνησεν δὲ καὶ ὄσσε.
Ἴχνεσι δὲ σφαλεροί τε καὶ ἐμπάζοντες ἀγυιαῖς,
χερσὶν ἐφερπύζουσι. κακὸς δ' ὑπὸ νείατα πνιγμὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον.
Ἄκρα δέ τοι ψύχει. περὶ δὲ φλέβες ἔνδοθι γυίων
ῥωμαλέαι στέλλονται. ὁ δ' ἠέρα παῦρον ἀτίζει,

τοῦ δὲ οἱ μὲν, κροκικόν. οἱ δὲ, καὶ ῥίανον. οἱ δὲ, ἀνύδρον δὲ καλοῦσι. σημεῖον δὲ τοῦτο, τὸ καρηβαρεῖν. Φοινὸν δὲ, ἀντὶ τοῦ πεφοινιγμένου, ἢ ὀλέθριον, φόνιον, ἤγουν κατὰ πλεονασμὸν τοῦ ι. Ἴχνεσι δὲ σφαλεροί τε. σφαλλόμενοι δὲ τοῖς σκέλεσι, ταῖς χερσὶ βαδίζουσιν. ὅ ἐστι πίπτοντες. ἐμπεδίζονται αὐταῖς. Στεινὴν δὲ ἐμφράσσεται οἶμον, ἤγουν τὰ ἐσωτέρω καὶ κατωτέρω τοῦ στόματος. περὶ δὲ φλέβες, αἱ ἀρτηρίαι φησὶ μεγάλως σφύζουσιν. ἢ περιῤῥωμέναι, συστέλλονται. ἀτίζει δὲ, ἀντὶ τοῦ ἀτενίζει. βλέπει νῦν, ἢ ἕλκει, ὅ ἐστι, σπᾷ τὸν ἀέρα, καὶ ὀλίγον ἀναπνεῖ. εἰ καὶ ἐπὶ τῆς ταραχῆς αὐτὸ τέθεικεν Ὅμηρος εἰπών, Πάρδοι φίλου ὄψιν ἀτιχθείς. γράφεται καὶ ἀλύξει. οἷον, Ἠέρα παῦρον ἀλύξει.

Κατηβολέων, ἀφηρθυμῶν, τὴν ὑστάτην εἱμαρμένην ἔχων. ὁ δὲ, διὰ ἐν καταβολῇ ὤν, καὶ κάτω

τω

Οἷα κατηβολέων. ψυχὴ δ᾽ ἀΐδωνέα λεύσσει.
Τὸν μὲν τ᾽ ἢ λίπεος κορέοις, ἢ ἀμμιγέος οἴνης.
Ὄφρα κεν ἐξερύγῃσι κακὴν καὶ ἐπώδυνον ἄτην,
Ἠὲ σύ γε κλυστῆρος ἐνιεὶς ὁπλίζεο τεῦχος.
Πολλάκι δ᾽ ἢ οἴνης ἀμιγῆ πόσιν. ἢ ἀπὸ δάφνης
Τεμπίδος, ἢ δ᾽ αὐκοιο φέροις ἐκκαυλία κόψας,
Ἢ πρώτη φοίβοιο κατέστεφε δελφίδα χαίτην,
Ἢ πέπερι κνίδης τὲ μέγα σπερμεῖα λειώσας,
Νείμειας. τότε νέκταρ ὀπῷ ἐμπευκέϊ χεύας.
Δήποτε δ᾽ ἰρινέου θυέος μετρηδὸν ὀρέξαις.
Σίλφιά τ᾽ ἐνθρυφθέντα μετ᾽ ἀργήεντος ἐλαίου
Ἐν δὲ μελιζώρου γλυκέος πόσιν. ἐν δὲ γάλακτος
Ἀφρόεν νέμε τεῦχος ὑπὲρ πυρὸς ἠρέμα πίνειν.
Καί κεν λοιγήεντα παρὰ χεδὸν ἄχθος ἀμύνοις
Τοξικῷ, εὖτ᾽ ἀχέεσσι βιάζηται περὶ δ᾽ ἀνήρ.

τω διὰ τὴν ἀπροθυμίαν τὸ λέπτ, ὀλίγον ἀέρα διὰ τῆς ἀναπνοῆς ἕλκει, τὸν θάνατον ὁρῶν καταπίπτοντα. Ἠὲ σύ γε κλυστῆρος. τεῦχος παρασκεύαζε ἐμβαλών, ἀντὶ τοῦ παραπέμψας. ἐν δὲ τοῖς μὴ λέγειν κλυστῆρα τρίον, δηλονότι κοινὸν λέγει. Δάφνης δὲ τεμπίδος, θεσσαλικῆς, διότι πρῶτον ἐκεῖ εὑρέθη.

* Τεμπίδος ἤτοι θεσσαλικῆς. διὰ τὸ ἐκεῖ πρῶτον εὑρεθῆναι.

Κατέστεφε δὲ χαίτην δελφίδα εἶπε, διὰ τὸ τὴν κόρην διωκομένην ὑπὸ ἀπόλλωνος, εἰς τοῦτο τὸ φυτὸν μεταβληθῆναι. ἐξ οὗ ἔχει καὶ τὸ ὄνομα. δάφνη γὰρ ἡ κόρη ἐλέγετο. καὶ ἀπόλλων ἰδὼν αὐτὴν μεταβληθεῖσαν εἰς τὸ φυτὸν, ἐξ αὐτοῦ τοῦ φυτοῦ ἐστέψατο. λέγει δὲ ἢ ἀπὸ δάφνης κατὰ κοινοῦ πόσιν δίδου, τουτέστι, δαφνέλαιον δίδου πίνειν. Ἢ πέπερι κνίδης. κνίδην λέγει τὴν ἀκαλήφην. εἴρηται δὲ καὶ ἀμφότερα διὰ τὸ καὶ φυῆς καὶ κνήσεως. ἔστι δὲ καὶ θαλάσσιον ὄρνεον ἀκαλήφη λεγόμενον. φησὶ γοῦν ὅτι καὶ κνίδης σπέρμα σὺν πεπέρει λεάνας διὰ τὸ σφόδρα θερμαντικὸν, δίδου χρῆσθαι. Ἐμπευκεῖ δὲ χεύας. ἀντὶ τοῦ μίξας τῷ πικρῷ τούτῳ. λέγει δὲ τῷ κυρηναϊκῷ. Ἰρινέου, τὸ ἀπὸ τῆς ἴριδος βοτάνης γινόμενον ἔλαιον. Ἴρινον δὲ μύρον λέγει. αὕτη ἡ βοτάνη εὔπνους ἐστί. παραλείπει δὲ τῆς προσόσεως τὴν ποσότητα. κελεύει δὲ καὶ σιλφίου ῥίζαν τρίψαντα μετὰ λευκοῦ ἐλαίου παρέχειν πίνειν. τὸ δὲ σίλφιον, καὶ ῥιζεῖον κυρηναϊκὸν καλοῦσί τινες. ἐξ οὗ γίνεται ὀπός. νῦν δὲ περὶ τοῦ ῥιζείου φησί. Μελιζώρου, ἀντὶ τοῦ μελικράτου. Καὶ γάλακτος δὲ τὸ ἀφρῶδες, τουτέστι τὸ ἐπιπόλαιον καὶ πεπηγὸς ὡς ἀφρὸς, νέμε ἐπὶ πυρὸς θάλψας τὸ τεῦχος ἠρέμα, ὅ ἐστι θερμάνας. Καί κεν λοιγήεντι. ἡ σύνταξις οὕτω. καὶ τὸ ἐπὶ τῷ λοιγήεντι τοξικῷ ἄχθος ἐπαμύνοις, καὶ ἀποδιώξοις. Παρασχεδὸν. ἀντὶ τοῦ παραχρῆμα. λείπει δὲ τὸ οὕτως, ἵν᾽ ᾖ, οὕτως ἀμύνοις, καὶ διώξοις. τοξικὸν δὲ καλεῖται τὸ τοιοῦτον φάρμακον, διὰ τὸ ὁμοίως τοῖς τοξεύμασιν ἀναιρεῖν παραχρῆμα βρωθὲν ἢ ποθέν. ἐπεὶ οἱ πάρθοι καὶ σκῦθαι τοξεύοντες, τούτῳ παραχρίουσι τὰς τῶν βελῶν ἀκίδας. οὐκ ὥς τινες τὸ κώνειον νομιστέον. ἢ διότι ὁμοίως τῷ τόξῳ ἀφίστησι ἀναιρεῖ βρωθὲν ἢ ποθέν. λέγεται ὑπό τινων καὶ σκυθικόν. ἄλλοι δὲ λέγουσιν ὅτι ἐκ τοῦ αἵματος τῆς ὕδρας ἀνεφύη. τὴν δὲ ὕδραν, τόξοις ἀνεῖλεν ὁ ἡρακλῆς, καὶ διὰ τοῦτο τοξικὸν καλεῖται.

* Τοξικὸν οὐχὶ τὸ κώνειον ὡς νομίζουσι τινές.

Τοῦ καὶ ἔνερθε γλῶσσα παχύνεται. ἀμφὶ δὲ χείλη
Οἰδαλέα βρίθοντα περὶ στομάτεσσι βαρύνει,
Ξηρὰ δ' ἀναπτύει, νέοθεν δ' ἐκρήγνυται οὖλα.
Πολλάκι δ' ἐς κραδίην πτοίην βάλε, πᾶν δὲ νόημα
Ἔμπληκτον μεμόρηκε. κακῇ ἐσφαλμένον ἄτῃ.
Αὐτὰρ ὁ μυκάζει. μανίῃς ὕπο μυρία φλύζων.
Δηθάκι δ' ἀχθόμενος βοάᾳ ἅτε τις ἐμπελάδην φὼς,
Ἀμφιβρότην κώδειαν ὑπὸ ξιφέεσσιν ἀμηθείς.
Ἢ ἅτε κερνοφόρος ζάκορος βωμίστρια ῥείης,
Εἰνάδι λαοφόροισιν ἐνιχρίμπτουσα κελεύθοις,
Μακρὸν ἐπεμβοάᾳ γλώσσῃ θρόον. οἱ δὲ, τρέουσιν,
Ἰδαίης ῥιγηλὸν, ὅτ' εἰσαΐωσιν ὑλαγμόν.
Ὣς ὅ γε νόον λύσσῃ ἐσφαλμένα βρυχανάαται
Σμερδνὸν, λοξαῖς δὲ κόραις ταυρώδεα λεύσσων,
Θήγει λευκὸν ὀδόντα, παραφρίζει δὲ χαλινοῖς.

ἀλλὰ διὰ τὸ διαχρίεσθαι δι' αὐτοῦ τὰ ξηρὰ βέλη. ἄλλον ὄντα παρὰ τὸ κώνειον.
Εὖτ' ἀχλύϊ βαρύνηται). ἡνίκα πιών τις βαρύνεται ὑπὸ τῶν ὀλυγῶν. Παχύνεται δὲ, οἰδαίνεται, φυσᾶται. Καὶ τὸ οἰδαλέα, διῳδηκότα, ἢ διεξωγκωμένα. Ξηρὰ δὲ ἀναπτύει. ἐπειδὴ ξηραίνει τὸ δηλητήριον, τὰ δὲ οὖλα τῶν ὀδόντων ἐκ βάθρων ῥήγνυνται. Ἔμπληκτον, μανιώδης. Μεμόρηκεν, ἐκαίνωσε πρὸς τὴν μοῖραν. Μυκάζει δὲ, ἀντὶ τοῦ μυκᾶται ὡς πρόβατον, οἱονεὶ, οὕτω βοᾷ καὶ κράζει φλυαρῶν ὑπὸ τῆς μανίας. καὶ οἱ Ἰταλιῶται τοὺς φλυαρογραφοῦντας, φλυζογράφους ἐκάλουν.
Δηθάκι δ' ἀχθόμενος, συνεχῶς δέ φησι βοᾷ. Ἐμπελάδην, οἱονεὶ ἐμπελαστικῶς καὶ ὁρμητικῶς ἀχθόμενος. Ὁποῖά τις φὼς, ἤγουν ἀνὴρ τὴν ἀμφιβρότην κώδειαν ἀποτμηθεὶς ξίφει, τοῦτ' ἔστι τὸ ἀποτμηθείς. κώδειαν δὲ νῦν τὴν κεφαλήν. καὶ ἀμφιβρότην, τὴν ὅλον τὸν ἄνδρα συνέχουσαν κεφαλήν. ἡ γὰρ κεφαλὴ συνέχει πᾶν τὸ σῶμα. καὶ Ὅμηρος δὲ κώδειάν φησι τὴν κεφαλήν. Ὁ δ' ἔφη, κώδειαν ἀνασχών.
* Κώδειαν τὴν κεφαλήν· ὡς καὶ Ὅμηρος. Ὁ δ' ἔφη, κώδειαν ἀνασχών.
Ἄλλως. καὶ γάρ φησιν ἐνίοτε πλησιάζοντος αὐτοῦ ἀνθρώπου τινὸς, μισανθρωπίαν νοσῶν, καὶ βαρούμενος, προΐεται φωνὴν, ὡς ἀποκεφαλιζόμενος. τοῦτο δὲ εἶπε πλανηθεὶς ἐκ τοῦ ποιητοῦ, καὶ κακῶς νοήσας τὸ, Φθεγγόμενος δ' ἄρα τοῦ γε κάρη. Κερνοφόρος, ἡ τοὺς κρατῆρας φέρουσα ἱέρεια. κέρνους φασὶ τοὺς μυστικοὺς κρατῆρας,

ἐφ' ὧν λύχνους τιθέασι. Ζάκορος δὲ, ἡ νεωκόρος, καὶ βωμίστρια, καὶ ἱέρεια τῆς κρατηροφόρου Ῥέας. τῇ γὰρ ἐνάτῃ τοῦ μηνὸς τὰ μυστήρια αὐτῆς ἐπιτελοῦσιν, ἢ εἰκάδι, τῇ ἐνάτῃ τῆς σελήνης. τότε γὰρ κατὰ τὴν σελήνην ἐμέτρουν τὸν ἐνιαυτόν. Ἰδαίης δὲ, τῆς ὀρεινῆς. Ἴδη γὰρ καταχρηστικῶς πᾶν ὄρος καλεῖται. Τρέουσιν δὲ, ἤγουν οἱ κορύβαντες, ἢ οἱ παρατυχόντες φοβοῦνται, ὅτι Ἰδαίας τὸν ῥιγηλὸν ὑλαγμὸν εἰσαΐωσι. Βρυχανάαται. γράφεται καὶ βρυχανάᾳ. βρυχᾶται. κλαυθμυρίζει. ὡς παιδίον φωνεῖ, ἢ δακρύει. ὡς Μένανδρος. Σμερδνὸν δὲ, ἀντὶ τοῦ μετὰ φυγῆς, ὡς λύκος ὠρυόμενος. Καὶ ταυρώδεα λεύσσων, ἀντὶ τοῦ, καθάπερ ταῦρος. Τὸν μὲν καὶ δαμῶσι. διὰ μὲν τὸ ἀσατεῖν αὐτὸν δόσεις φησὶ, προσήνεγκεν αὐτῷ βοηθήματα. Καὶ μὴ καταδεχομένῳ. καὶ μὴ θέλοντι κατ' ὀλί-

γον

Τὸν μὲν καὶ δεσμοῖσι πολυπλέκτοισι πιέζας,
Νέκταρι θωρήξαιο, καὶ οὐ χατέοντα κορέσκων,
Ἦκα βιησάμενος. διὰ δὲ στόμα βρυκὸν ὀχλίζοις,
Ὄφρ' ἂν ὑπεξερύγῃσι δαμαζόμενος χερὶ λώβην.
Ἠὲ σὺ βοσκαδίης χηνὸς νέον ὀρταλιχῆα,
Ὕδασιν ἐντήξαιο πυρὸς μεμορημένον αὐγαῖς.
Καί τε σὺ μηλείης ῥηχώδεος ἄγρια κάρφη
Οὔρεσιν ἐνθρεφθέντα, πόροις ἀπὸ σίνεα κόψας.
Ἠὲ καὶ κλήροισιν ἐπήβολα, τοῖά περ ὧραι
Εἰαριναὶ φορέουσιν ἐνὶ ψήματα κούραις.
Ἄλλοτε δὲ στρουθεῖα, τοτὲ βλοσυροῖο κυδῶνος,
Κεῖνο φυτὸν Κρήτηθεν, ὅ δή ῥ' ἐκόμισσαν ἄναυροι.
Πολλάκι δ' ἢ σφύρῃσιν ἅλις ἐναπαλέα κόψας,
Ὕδασιν ἐμβρέξαιο, νέην δ' ὀσμήρεα γληχὼ
Σπέρμασι μηλείοισι βάλοις, ἐνομήρεα φύρων.
Καί τε σύ γ' ἢ ῥοδέοις θυόειν μαλλοῖσιν ἀφύσσων,
Παῦρα λίπος στάξαιο ἀνοιγομένοις στομάτεσσιν,

γον οἶνον διδοὺς, κόρεσον, καὶ μεθυσθῆναι ποίησον. ἀπνοχλήτως δὲ βιαζόμενος, τῇ σῇ χειρὶ ἄνοιγε τὸ μεμυκὸς αὐτοῦ στόμα, ἕως ἂν ἐμέσῃ. καὶ μετὰ τὸν τοῦ γλυκέος ἔμετον, πότισον αὐτὸν ζωμὸν πολὺν χλιαρὸν, προσφέρων αὐτῷ καὶ τῶν ἐαρινῶν ἀγρίων, ἢ ἡμέρων μήλων τὰς σάρκας, ῥίψας τὸ δέρμα αὐτῶν. ἐὰν δὲ μὴ παρῶσι ταῦτα τῶν λεγομένων στρουθομήλων, ὁλοσχερῶς ἐμφόρησον αὐτόν. Νέκταρι θωρήξαιο, τουτέστι, τὸν θώρακα πλήρωσον, ἤγουν χόρτασον αὐτὸν οἴνῳ γλυκεῖ, καὶ μὴ χρήζοντι ἠρέμα βιαζόμενος. καὶ μὴ χαυνώσῃς αὐτόν. Βρυκὸν, μεμυκός. συνεσταλμένον ὀδόντας τὸ βρυκὸν αὐτοῦ στόμα φησίν. ἤγουν τὸ συνδεθὲν καὶ σφιγχθέν. Ὀχλίζοις, διονεὶ ἄνοιξον, ὡς ἂν τὴν λώβην ἐμέσῃ δαμαζόμενος καὶ νικώμενος διὰ

τοῦ πνίζειν αὐτὸν τῇ χειρίσον. Πυρὸς μεμορημένον, ἀντὶ τοῦ δεδασμένον καὶ ἑψηθέντα τῷ πυρί. Μηλείας δὲ, τῆς μηλέας τὰ κάρφη, ἤγουν τὰ δέρματα. γράφεται δὲ καὶ ῥηχώδεος, καὶ βηχώδεος. ἀμφότερα παρὰ τὸ ἀνθοῦ σημαινόμενα τῆς τραχείας. τὰς οἰνωπὰς ἀκάνθας ἀποβαλὼν, ἢ μᾶλλον τὰ δέρματα τῶν μήλων λεπίσας ἕψει. Ἢ ἔτι καὶ κλήροισιν, ἤγουν μέχρι τοῖς ἡμετέροις χωρίοις, τουτέστι, τοῖς ἡμῶν κλήροις, ἤγουν κήποις ἐπιβαλόντας, διονεὶ τὰ ἡμέτερα. Ἐν ἰψήματι δὲ τὰ παίγνια. παίζουσι γὰρ αἱ κόραι καὶ τέρπονται τοῖς μήλοις. Καὶ τὰ στρουθεῖα δὲ, γένη μήλων. οἱ δέ φασιν εἶδος βοτάνης. Βλοσυροῖο κυδῶνος, τοῦ στυπτικοῦ κυδωνίου, ὃ μάλιστα ἐν Κρήτῃ φύεται. Ἐκόμισαν δὲ ἄναυροι, τουτέστιν ἔθρεψαν αἱ ὄχθαι τῶν ποταμῶν τὰ κυδώνια. Ἄλις δὲ, ἀντὶ τοῦ ἱκανῶς. Καὶ ἐναπαλέα, ὁμοῦ κόψας. Ὀσμήρεα γληχὼ, ὀδμὴν ἔχουσαν εὐώδη. Ῥοδέοις, τοῖς ῥοδίνοις, ἤγουν ῥοδίνου ἐλαίου. Καὶ θυόειν μαλλοῖσιν ἀφύσσων παῦρα λίπος, ἀντὶ τοῦ θυώδη ἐν τοῖς ῥόδοις ἔλαιον. ἤγουν τὸ ῥόδινον στάζε μετ' ἐρίου εἰς τὸ στόμα αὐτοῦ.

Ἰρινέου δὲ, τοῦ ἀπὸ ἴριδος γινομένου μύρου. καὶ ἀκροσφαλὲς, τὸ ἄκρως σφαλερόν. Γερραῖοι, ἔθνος ἀῤῥαβίας, ἀπὸ γέῤῥας μιᾶς αὐτῶν πόλεως. Νομάδες δὲ, νομάδα βίον ἔχοντες. τούτῳ φησὶ τῷ τοξικῷ φαρμάκῳ οἱ ἐν τῇ γέῤῥᾳ τῆς ἀῤῥαβίας, καὶ οἱ περὶ τὸν εὐφράτην πρὸς τὰς αἰχμὰς αὐτῶν χραίνουσιν, ὅ ἐστι, βάπτου-

σιν. οἱ γερραῖοι τῷ τοιούτῳ φαρμάκῳ βαλλόμενοι χρῶνται, καὶ τοὺς ἀπὸ προσαγκομένους τοῖς εἰρημένοις βοηθήμασιν ἰῶνται, οὕτω δοκιμάζουσι τὰ ἀλεξιφάρμακα, μέρος τοῦ σώματος πολλάκις χαράξαντες, αἷμα ἀφιᾶσι. καὶ εὐθὺς προσάπτουσιν ἀπὸ τοῦ φαρμάκου. ὅταν δὲ τὸ φάρμακον διὰ τοῦ αἵματος ἀναδράμῃ, τάχιον τοῖς βοηθήμασι τούτοις καθαίρουσιν αὐτὸ, πρὶν ἐμπεσεῖν τὸν ἰὸν ἐν τῇ καρδίᾳ. Ἔρφος δὲ, τὸ δέρμα. ὅπερ οἱ Ἴωνες στέρφος φασί. διὸ καὶ στερφῶσαι λέγομεν ἐν τῇ συνηθείᾳ. Ἢν δὲ τὸ Μηδείης. ἤτοι τὸ ἐφήμερον σκευαστικόν ἐστι φάρμακον, ὃ καὶ οἱ βάρβαροι νάφθαν καλοῦσιν. ὃ οἱ χριόμενοι ἢ ἱμάτιον ἀληλιμμένοι ὑπ' αὐτοῦ φοροῦντες, ἢ ἄλλο τι, ἐὰν ἐναντίοι ἡλίου στῶσιν, ὡς ὑπὸ πυρὸς κατιόντος δαπανώμενοι. ἔστι γὰρ καυστικόν. δοκεῖ δὲ ἡ Μήδεια τὴν κατασκευὴν αὐτοῦ εὑρηκέναι, διὸ καὶ κολχικὸν λέγεται. οἱ δὲ, ἶριν αὐτὸ προσαγορεύουσιν. ἄλλοι, φαρικόν. ἕτεροι, ἐφήμερον, διὰ τὸ ἕωθεν ἀναδιδόσθαι κατὰ τὸν σαναῖν ποταμὸν, ἢ τὴν κολχίδα. τῇ γὰρ μεσημβρίᾳ τελειοῦσθαι, πρὸς ἑσπέραν δὲ αὐαίνεσθαι. ἢ διὰ τὸ, ἡμέραν ὅλην μὴ δύνασθαι διαρκεῖν τοὺς πιόντας αὐτὸ τὸ ἐφήμερον. ἐν μὲν τῇ γεύσει, εὐθὺς τὰ ἔσω τῶν χειλέων κινεῖ πρὸς κνησμὸν, ὡς ἀπὸ γάλακτος συκῆς, ἢ σκίλλης, ἢ κνίδης. ἐν δὲ τῇ καταπόσει ἐσθίων τὸν στόμαχον, καὶ δηγμοὺς ἱκανοὺς παρέχον, βάρος εἰς αὐτὸν ἐνίησιν. ἔπειτα σφοδρῶς αὐτὸν καταξέσας, ἑλκοῖ τοῦτον, ὥστε ποτὲ μὲν ἐμεῖν ὅμοιον πλύματι κρεῶν θολερῶν, ποτὲ δὲ καὶ κόπρον προιέναι. Βοηθεῖ δὲ τοῖς πεπωκόσι τὸ φάρμακον γάλα ποθὲν ἀπὸ βεβρεγμένων εἰς αὐτὸ δρυὸς φύλλων. πρινοῦσι καὶ τὰς περὶ τὴν κεφαλὴν θάλψεις. ἢ γάλακτος βοείου προσαγωγή. τὸ μὲν, πινόμενον εἰς κόρον θερμοῦ, τοῦ δὲ, ἐν τῷ στόματι τηρουμένου. βοηθεῖ δὲ καὶ ὁ βλαστὸς τῶν πολυγόνου, ἢ καὶ ἡ ῥίζα κατακοπεῖσα καὶ ἐν γάλακτι ἑψηθεῖσα, ἢ ἐν ἀποβρέγματι μήλων, ἢ κυδωνίων, ἢ στυπτικῶν μύρτων, ἢ ἑλίκων ἀμπέλου, ἢ βάτων κλάδων. καὶ τοῦ ἑρπύλλου τὰ φύλλα ἑψηθέντα ἐν ἀποβρέγματι τῶν ἐσθίων τοῦ νάρθηκος ἢ σαρδιανῶν βαλάνων, καὶ ποθέντα βοηθεῖ. καὶ ἡ ἐντεριώνη τοῦ νάρθηκος τετριμμένη ποθεῖσα. βοηθεῖ δὲ καὶ ἡ ὀρίγανος λειανθεῖσα. Νιφόεντι, λευκῷ, οἷα τῷ ὀπῷ τῆς συκῆς. Σπειρώδεϊ δὲ, σπερματώδει ἢ πολλαῖς περιβολαῖς καλυπτομένῃ. αὕτη γὰρ ἡ βοτάνη ἐν τῇ κεφαλῇ τὸ σπέρμα ἔχει. ἢ σπειρώδεϊ, τῇ πολλὰ σπεῖρα, ἤγουν ἐνδύματα ἐχούσῃ. Νέην φοινίξατο σάρκα. ἤγουν τὴν ἁπα-

Ἠὲ σιδηρείοιο. μόγις δέ γε μυξί' ἐπιπλὰς
Αἵμασιν ἐν πλείοσιν ἀκροσφαλὲς ἴχνος ἰήλαι.
Ἀσφαλέως ποιοῖτο μὲν ἔχων ἑτροπλανὲς ὄμμα.
Τῷ μὲν γερραῖοι νομάδες χαλκήρεας αἰχμὰς,
Οἵ τε παρ' εὐφρήταο ῥόον πλέουτες, ἀέρσας
Χραίνουσιν. τὰ δὲ πολλὸν ἀναλθέα θαύματα τεύχει
Σάρκα μελαινομένην. πικρὸς δ' ὑποσήπεται ὕδρης
Ἰός. σηπόμενον δὲ μύδῳ ἐκ ῥήγνυται ἔρφος.
Ἢν δὲ τὸ Μηδείης κολχηίδος ἐχθόμενον πῦρ
Κεῖνο πρὸ δ' ἐξ ἕψηται ἐφήμερον. οὗ περὶ χεῖλη
Δευομένου δυσάλυκτος ἰάπτεται ἔνδοθι κνηθμός.
Οἷά τ' ὀπῷ νιφόεντι κράδης. ἢ τρηχέϊ κνίδῃ
Χρῶτα μιαινόμενος. ἢ καὶ σπειρώδεϊ κόρσῃ
Σκίλλης. ἥ τ' ἔκπαγλα νέην φοινίξατο σάρκα.

λὴν σάρκα ἐπυράκτωσεν. ἐπιχομένοιο δὲ, καταποθέντα. Ἀνερεπτόμενον, ἤγουν ἀπερυγόμενον τῇ περιτρίψει. Συρμῷ δὲ, τῇ ζέσει καὶ τῇ ὀλεθρίᾳ καύσει τὸν στόμαχον ἑλκωθέντα. Κακὸν δ᾽ ἀπήρυγε λύθρης. ἀπέμεσε δὲ, ὥσπερ θολερὸν πλῦμα ἀπὸ κρεῶν ὁ μάγειρος ἐκχέει, τουτ-

ξία. δρύες καλοῦνται. Αὐτὰρ ὅ γε τοῦ καρύοιο. τουτέστιν ὁ δὲ φαρμαχθεὶς, τούτων κορεσθείη, καὶ ἐν τῷ στόματι κατάσχοι. τὸ δὲ πολύγονον, βοτάνη ἐστὶν, ἐν τοῖς πίνουσιν ἐνστατικὴ, ἢ τὰ ῥίζια τοῦ πολυγόνου γάλακτι ἑψηθέντα, καὶ καταθλιβέντα, βοηθεῖ. Τὸ δὲ ἀμπελόεις, ἀπὸ κοινοῦ ἐστι παραθυντικὸν, ὁμοφωνεῖ τῇ εὐθείᾳ. αἱ ἀμπελόεσσαι γάρ εἰσιν ὡς τὰς πανηγύρεις, αἱ πανηγύρεις. Ἴσως καὶ βατόεντα. ὁμοίως καὶ τοὺς κλάδους τοῦ βάτου. εἴρηται δὲ βάτος διὰ τὸ ἄβατος εἶναι. Νέα δὲ τέρφη, ἀντὶ τοῦ χλωρὰ λέπη καστάνου. τοῦ εὖ τρέφειν δυναμένου. Δασυφλοίοιο εἶπε, διότι χνοώδης ὁ ἐκτὸς ἐστι φλοιός. ἢ τὸ δασὺ πρὸς τὸ στρυφνὸν τοῦ λέπους ἔφη. γράφεται δὲ καὶ χαλυφλοίοιο, ἤτοι ἐλάχιστον φλοιὸν ἔχοντος. Νείαιραν δὲ σάρκα, τὴν ἐσωτάτω λέγει. ἀμφότερα γὰρ τὰ φλοιοὺς ἀφελεῖν δεῖ κελεύει. Νείαιραν οὖν, τὸν ἐνδότερον περὶ τὴν σάρκα ὑμένα, τὸν στύφοντα, λέγει. Σκύλος, τὸ δέρμα, ἤτοι τὸ ἔνδυμα. ὅθεν καὶ τὸ σκυλεύω. νῦν δὲ τὸ μαῦρον, καὶ

Τοῦ καὶ ἐπιχομένοιο περὶ στόμαχον βάρος ἵζει
Πρῶτ᾽ ἀνερεπτόμενον, μετέπειτα δὲ λοιγέι συρμῷ,
Ῥιζόθεν ἑλκωθέντα, κακὸν δ᾽ ἀπήρυγε λύθρης.
Ὡσεί τε κρεάων θολερὸν πλῦμα χεύατο δαιτρὸς,
Σὺν δ᾽ ἔτε καὶ νηδὺς μεμιασμένα λύματα βάλλει.
Ἀλλὰ σὺ πολλάκι μὲν χαίτην δρυὸς οὐλάδα κόψας,
Πολλάκι καὶ φηγοῖο πόροις ἀκύλοισιν ὁμήρη,
Ἠὲ σύ γε βδήλαιο νέον γλάγος ἔνδοθι πέλλης.
Αὐτὰρ ὅ γε καρύοιο καὶ ἐν στομάτεσσιν ἐρύξαι,
Ἢ μὴν πολυγόνοιο τότε βλαστήματ᾽ ἀρήξοι,
Ἄλλοτε δὲ ῥίζεα καταψηχθέντα γάλακτι,
Σὺν δὲ καὶ ἀμπελόεις ἕλικας ἐνθρύπτεο νύμφαις.
Ἴσως καὶ βατόεντα περιπτόρθεα κολούσαις,
Καί τε σὺ γυμνώσειας ἐϋτρεφέος νέα τέρφη
Καστανοῦ καρύοιο ταχυφλοίοιο κάλυμμα,
Νείαιραν τόθι σάρκα περὶ σκύλος αὖον ὀπάζει
Δυσλεπέος καρύοιο, τὸ Κασταναῖς ἔτρεφεν αἶα.

τόν φησι ῥυπαρὸν καὶ ζέον. συναποβάλλει δὲ καὶ ἡ νηδὺς μεμιασμένα ἀποπατήματα, ἤγουν ἀφρώδη. Ἀλλὰ σὺ πολλάκι μέν. πολλάκις μὲν καὶ τοῦ φηγοῦ φησι τὴν χαίτην βάλλοις ὁμοῦ τοῖς ἀκύλοις, τουτέστι, τῶν καρπῶν. Οὐλάδα δὲ, τὴν ὑγιαστικήν. Οὖλέ τε, καὶ μέγα χαῖρε. Πολλάκι δὲ καὶ φηγοῖο, ἤγουν σὺν αὐταῖς ταῖς βαλάνοις. διαφέρει γάρ φησι δρῦς, καὶ φηγὸς, εἰ μήπου φηγὸν τὸν πρῖνον εἶπεν. ἄλλο γὰρ δρῦς, καὶ ἄλλο φηγὸς, καὶ ἄλλο πρῖνος. τὰ δὲ

ξηρὸν λέγει ἔνδυμα. γυμνώσειας δὲ σὺ τοῦ καλῶς τεθραμμένου καρύου. ἢ τοῦ καλῶς τρέφοντος τοῦ καστάνου τὰ νέα τέρφη τοῦ δασυφλοίου. τὸ δὲ κάλυμμα, ὅπερ κατὰ τὴν νείαιραν ἐστὶ σάρκα. Περὶ τὸ σκύλος, ἤγουν περὶ τὸ ἔνδυμα τὸ μέλαν. τουτέστι, τὸ μετὰ τὴν ἄκανθαν ἐκεῖνό φησιν ἑψήσας, δίδου πιεῖν, διονεὶ τὸ στύφον. Τὸ, Κασταναῖς ἔτρεφε. πόλις Μαγνησίας, ὅθεν τὰ κασταναῖα, ἀπὸ τῆς Κασταναΐδος γῆς. ἢ Κασταναῖς, πόλις Ποντική, ἤτοι πλεονάζει τὸ κασταναῖς. τὴν δὲ κα-

στάνων, τὸ μὲν σαρδιανόν. τὸ δὲ, λώπιμον. τὸ δὲ, μαλακόν. τὸ δὲ, γυμνωτικόν.
Ὅς τε προμηθείοιο. τουτέστι τῆς κλοπῆς τῆς ἱστιώσης τὸν νάρθηκα. ἤγουν τὸν κλέψαντα τὴν κλοπὴν τοῦ κλέπτου προμηθέως. κλοπὴν γὰρ λέγει αὐτοῦ τὸ πῦρ. Φιλόζωον δὲ λέγει, τὸν ἕρπυλλον,

ζει τὴν τροφήν, παραπλήσιον τοῖς ἄνευ ὀστράκων ὠοῖς τῶν ὀρνίθων. οἷον, τοῖς ἀτελέσι, καὶ ἐν τῷ ὑμένι οὖσι. τουτέστι πως τεθρομβωμένους ἐν τοῖς ἰσχάδοις αὐτῶν, καὶ ὑμένας μόνους ἔχουσιν. Εἰκῇ. ἀδιαχώριστον φησι γίνεται εἰκῇ καὶ ἄνευ λόγου, ἐντὸς ἐνειλούμενον τὸ πνεῦμα

διότι ἀεὶ ἀνθεῖ, καὶ οὐ δύναται φυλλορροεῖν. Ἀφίμου δὲ, τῆς φιμούσης τῇ στύψει, ἤγουν τῆς στυπτικοῦ. Ἰξιόεν, τὸ τοῦ ἰξοῦ δηλητήριον. ἰξία δὲ καὶ βούπρησις, σιλφίων γένη μελαινῶν. πινόμενα δὲ, κατέχει τὴν τροφὴν ὡς ἰξός. Οὐλοφόνον δὲ, τὰ οὖλα βλάπτον, ἢ ὅλως φονευτικόν. Ὠκιμοειδὲς δὲ, ὅπερ μάλιστα ὡς ὤκιμον ὄζει. ὤκιμον δέ ἐστιν εἶδος βοτάνης, παραπλήσιον ἡδυόσμῳ, ἀλλ' οὐ δασύ ἐστιν. Ἐμπλάζεται δὲ ἦτορ, ἀντὶ τοῦ περιφέρεται τῇ διανοίᾳ, ἤγουν ταράσσεται, καὶ ἐμπληκτικὸς γίνεται. Καὶ λυσσηθεὶς, ἀντὶ τοῦ μανεὶς, κατατρώγει τὴν γλῶσσαν αὐτοῦ. Ἰξία, γένος ἐστὶ τοῦ σίλφους. ἔστι δὲ τῇ χροιᾷ μέλαν. τῇ δὲ ὀσμῇ ἐν τῇ τρίψει, ὁμοία ὠκίμου σπέρματι. ἤγουν, βασιλικὴν πνοὴν ἔχον. ποθὲν δὲ, τὸ μὲν φάρμακον

Ῥεῖα δὲ νάρθηκος νεάτην διζαίνυσο νηδύν,
Ὅς τε προμηθείοιο φιλοζώοιο πέτηλα,
Εὐφήμου τ' ἀπὸ κρῆτα μάλ' ἐγκαταβάλλεο μύρτου.
Ἢ καὶ τοῦ σιδόεντος ἀποβρέξαιο κάλυμμα
κρηπείου, μίσγων δὲ βαλὼν ἐμπίσεο μύρτοις,
Ὄφρ' ἂν ἐπιστύφοντα τὰ δὴ, νόσον δὲ κεδάσσαις.
Ἰξιόεν δέ σε μή τι δόλῳ παρὰ χείλεσι πῶμα
Οὐλοφόνον λήσειεν, ὅ τ' ὠκιμοειδὲς ὄδωδε.
Τοῦ μὲν, ὑπὸ γλώσσης νέατος τρηχύνεται ὁλκός,
Νέρθεν ὑποφλεγέθων. ὃ δέ οἱ ἐμπάζεται ἦτορ
Λυσσηθείς, γλῶσσαν δὲ καταπρίει κυνόδοντι.
Δὴ γὰρ ὅ γ' ἔμπληκτος φρένα δάμναται, ἀμφὶ δὲ δοιούς
Εἰκῇ ἐπιφράσσουσα πόρους τυφλώσατο νηδύς,
Οὔρων τε βρωτῶν τε, καταπνίγουσα δὲ πνεῦμα
Ἐντὸς ὑποβρομέει, ὀλίγῳ δ' ἐνελίσσεται ὁλκῷ.
Πολλάκι δ' ἐν βροντῇσιν ἀνομβρήεντος ὀλύμπου
Εἰδόμενος, τότε δ' αὖ τε κακοῖς ῥόχθοισι θαλάσσης,
Οἷος πετραίῃσιν ὑποβρέμεται σπιλάδεσσι.

τοῦτο, τὴν μὲν γλῶσσαν οἰδεῖ φλέγον αὐτήν, καὶ παραφροσύνην ἐμποιοῦσαν ἐσθίει αὐτήν. τὸ παρασκευάζει δ' ἴκην δὲ ἰξοῦ τὴν τροφήν, κατέχει ἔμφραξιν ἐργαζόμενον οὔρου τε καὶ κόπρου. κατάπνιγον δὲ τὸ πνεῦμα περὶ τὰς στενὰς τῶν ἐντέρων ὁδοὺς, εἰλεῖται περιπνεῖ, καὶ δι' ἕδρας ψόφους παρασκευάζει. ἢ διὰ στόματος ἐρυγγάνει διαλύσει τοῦτο τὸ πρὶν, πολλάκις ἐμφαίνει παρασκευά-

ψόφον ἀποτελεῖ. Ἐν ὀλίγῳ δὲ φυσήματι εἰλίσσεται, τουτέστιν, ἐν μικρῷ πνεύματι ταράσσεται. μικρὸν γὰρ τὸ πνεῦμα ἀποπλανᾷ. Ῥόχθοισι δὲ, τοῖς ἀναφερομένοις εὐθὺς πνεύματι. οὐ τὴν ὑπερβολὴν ἔοικεν βροντῇ. ἢ ἤχῳ θαλασσίῳ. ἢ ὁποῖος ῥόχθος ἐπιχεῖ ταῖς σπιλάσι. πολλάκις δὲ φησι ταῖς βρονταῖς τοῦ ὀλύμπου ὁμοιούμενος, ποτὲ δὲ τοῖς ἤχοις τῆς θαλάσσης παραπλή-

σιος.

σιον ὤν. Ἀνομβρήεντος δέ, πολυόμβρου, ὥς φησιν Ὅμηρος. Οὐδέ ποτ' ὄμβρῳ δεύεται. Στρευγομένῳ, ἐλαυνομένῳ, ἢ συνεχομένῳ. οἱ δὲ γλωσσογράφοι, κατὰ στράγγα ἀπολλυμένῳ. Λύματα δὲ ἀκαθαρσίας τὰ πινόμενα φησὶ τοῦ βοηθήματος ἐμεῖν, παρασκευάζουσι διαφθορη-αν τὴν ξηράν, παραπλησίαν τοῖς ἄνευ λεπύρου τικτομένοις, καὶ διαφθαρμένοις ὠοῖς. πολλὰ δὲ διά τινα πληγὴν ἢ παθεῖσαν ἐκβάλλει ἡ ὄρνις χωρὶς τοῦ κελύφου τῶν ὠῶν. Φαρμακόεις δέ, ἀντὶ τοῦ φαρμακεύσασας. Ἀλεξιφάρμακοι, ἃ φαρμακώδεις πόσεις φησὶ τὰς ἀκαθαρσίας ἔχειν ὁμοίαν τοῖς ὠοῖς διὰ ἣ νομὰς ὄρνις ἐκβάλλει ποσὶ τεθρομβωμένα, καὶ φυσιωθέντα χωρὶς τοῦ κελύφου. Καὶ αἰχμητῇσι νεοσσοῖς, τοῖς ἀλεκτρυόσι δηλαδή. οὗτοι δὲ πρὸς ἀλλήλους πολεμικοὶ γίγνονται. Ἄλλοτε μὲν πληγῇσι. πάχει δὲ καὶ ἀπὸ πληγῆς, καὶ ἐκ πλήθους ἐναποκειμένους αὐτῇ. τὸ ῥίπτειν φησὶν ἀτελῆ τὰ ὠὰ καὶ διὰ φύσας τινάς, καὶ ἀνόστρακα, πολλάκις καὶ ἀπὸ νόσου τινὸς γίνεται αὐτῇ. Δύσπεπτον δὲ γόνον, ἀντὶ τοῦ ἀμετάβλητον τὸν γόνον ἔτι ἐν τῷ ὑμένι ὄντα ἐκβάλλει. Τῷ μέν τ' εὐβρεχέως. τούτου μὲν, καὶ τούτῳ τὸ ἄλγος ἀρήξει τὸ μετὰ γλεύκους ἔνστυφον πόμα τοῦ ἀψινθίου. εἴωθε δὲ τὰ πικρὰ καὶ δριμέα, στύφοντα καλεῖν. τὰς γοῦν ὄμφακας διὰ τὸ στύφοντας ἔφη. ὄμφακες δέ, ἡνίκα χεῖλος διὰ στύψεως ποθεῖσαι. κελεύει οὖν ἐν γλεύκει βρέχειν ἀψίνθιον καὶ οὕτω διδόναι πίνειν. ἢ ῥητίνην τερμινθίνην, ἢ πευκίνην, ἢ πίτυος δάκρυον μετὰ γλεύκους, καὶ τὰ ἑξῆς. Νεοτρίπτῳ δέ, ἤγουν νεωστὶ τριβέντι, δίον θλιβέντι, πατηθέντι, τουτέστι μετὰ γλεύκους τὸν τοῦ ἀψινθίου ζωμόν. Γονῆς ἀπὸ δάκρυα. ὅτι πολὺ στάζει δάκρυον. ἢ ὅτι ἐν αὐτῇ ἀπεκρεμάσθη Μαρσύας. μυθεύεται γὰρ ὡς ἐπειδὴ Μαρσύας δεθεὶς ἐκ πίτυος ἐξεδάρη ὑπὸ τοῦ Ἀπόλλωνος, ἡ πίτυς συμπαθὴς ἐπ' αὐτῷ γενομένη, θρηνῳδὸς ὑπάρχει. Τμῆξαι δέ, ἀντὶ τοῦ κόψαι, ἢ ξέσαι, ἢ μίξαι, ἀπὸ τῆς πίτυος φησὶν ἧχι τοῦ Μαρσύου τὴν φλόα ὁ Φοῖβος ἀπέλυσε ἐκ τῶν μελῶν. τουτέστιν ὅπου αὐτὸν ἔξεσεν. εἰς πίτυν δὲ αὐτὸν ἔξεσε, καὶ διέδειρε κρεμάσας. αὕτη δὲ ἡ πίτυς τὸν μόρον τοῦ Μαρσύου τὸν πολύπυστον ἐπαιάζουσα κατ' ἄγκη, καὶ τὰ ἑξῆς. Ἄσαι δὲ πολίοιο, κόρεσον αὐτὸν τὸ ἄνθος τοῦ μυοκτόνου πολίου. ἰδίως δὲ μυοκτόνον εἴρηκεν. οὕτω δὲ οὔτε κίκλησκέ τις, οὔτε μῦας ἀναιρεῖ. κελεύει

Τῷ καὶ στρευγομένῳ περ ἀνήλυθεν ἐκ καμάτοιο,
Πνεῦμα μόλις, πόσιες δὲ παραυτίκα λύματ' ἔχευαν
Φαρμακόεντ' ὠοῖσιν ἀλίγκια, τοῖά τε βοσκὰς (αν
Ὀρταλὶς αἰχμητῇσιν ὑποθυνθεῖσα νεοσσοῖς.
Ἄλλοτε μὲν πληγῇσι νέον θρομβήια γαστρὸς
Μυδαμένη δ' ὕασε πέδον ὑπεκγόνον ἔκχεε γαίῃ.
Τῷ μέν τ' εὐβρεχέως ἀψινθίου ἄλγος ἀρήξει.
Ἔνστυφον πόμα κεῖνο νεοτρίπτῳ ὑπὸ γλεύκει.
Καὶ δ' ἀπὸ ῥητίνην τερμινθίδα πολλάκι πεύκης,
Πολλάκι σὺ πίτυος γονῆς ἀπὸ δάκρυα τμῆξαι
Μαρσύου, ἧχί τε Φοῖβος ἀπὸ φλόα δύσατο γυίων.
Ἡ δέ, μόρον πολύπυστον ἀπ' αὐάζουσα κατ' ἄγκη,
Οἴκ, συνεχέως ἀδινὴν ἀναβάλλεται ἠχώ.
Ἄσαι δὴ πολίοιο μυοκτόνου ἄρσενος ἄνθην,
Ἠὲ σὺ ῥυτῆς πεδανὰς ἀπαμέργεο βλάστας,
Νάρδον λιμναίου τε χαδὼν ἄπο κάστορος ὄρχιν.

οὖν λαβεῖν πολιοῦ ἄνθος, καὶ πηγάνου βλαστάς, καὶ κάστορος ὄρχιν. Λιμναῖον δὲ ἔφη, ἐπειδὴ ἐν τοῖς ποταμοῖς καὶ ταῖς λίμναις διαιτᾶται, καθάπερ καὶ ὁ ἱπποπόταμος. δοκεῖ δὲ ὁ ὄρχις τούτου ὅμοιος εἶναι τῷ τοῦ κάστορος. ὅθεν δὲ ὁ κάστωρ, ὥς φασι, διωκόμενος, κόψας τοὺς ὄρχεις, ῥίπτει, εἰδὼς ὅτι διὰ ταῦτα διώκεται.

Θρομβοῦται δέ, ἀντὶ τοῦ πήγνυται τὸ ταύρειον αἷμα πρῶτον, καὶ φράσσονται οἱ πόροι τῶν πνοῶν. τὸ δὲ πνεῦμα θλιβόμενον ἔνδον, ὡσανεὶ σφίγγεται τοῦ αὐχένος ἐμπλασθέντος, ὡσανεὶ ἐμφραχθέντος, καὶ ἀποκλεισθέντος. Μεμορυγμένος δέ, τουτέστι μεμολυσμένος τῷ ἀφρῷ. περιφραστικῶς δέ.

Ἢ ὀβελὸν κνηστῆρι καταψήχοιο χαλάζῃ
Σιλφίου, ἄλλοτ' ὀλίζον ἀπὸ μήξαιο ὀπεῖο.
Πολλάκι δ' αὐαλέης τραγοριγάνου, ἠὲ γάλακτος
Πηγνυμένου κορέοιο νεημέλκτῳ ἐνὶ πέλλῃ.
Ἢν δέ τις ἀφροσύνῃ ταύρου μέλαν αἷμα πάσηται,
Στρευγεδόνι προδέδουπε δαμαζόμενος καμάτοι-
Ἧμος πιλνάμενον στέρνοις κρυσταίνεται εἶαρ (σιμ.
Ῥεῖα, θρομβοῦται δὲ μέσῳ ἐνὶ κύτεϊ γαστρός,
Φράσσονται δὲ πόροι, τὸ δὲ θλίβεται ἔνδοθι πνεῦμα
Αὐχένος ἐμπλασθέντος. ὁ δ' ἀσπαδόνεσσιν ἀλύων,
Δηθάκις ἐν γαίῃ σπαίρει μεμορυγμένος ἀφρῷ.
Τῷ μέν τ' ἢ ὀπόεντας ἀποκραδίσειας ἐρινούς,
Ὄξει δ' ἐμπίσαιο, τὸ δ' ἀθρόον ὕδασι μίξας,
Συγκεράσων νύμφας τε καὶ ἔνσυφον ἐκτομ ὄξευς.

Ἢ ὀβελὸν σιλφίου. τὸν χαρακτηρικὸν κνηστῆρι, ἤγουν μαχαίρᾳ. κατάψηχε, δηλονότι ξέσον. καὶ ψῆξον σιλφίου τῆς ῥίζης τοῦ ὀποῦ ὀβελοὺς δύο, καὶ τραγορίγανον, ἢ γάλα προσφάτως ἠμελγμένον. τραγορίγανον δέ ἐστιν ἔρνος, ὅπερ ἐσθίοντες οἱ τράγοι, γίνονται κατωφερεῖς, διὸ οὕτως εἴρηται. αὕτη ἡ ῥίζα λέγεται σίλφιον. ὁ δὲ ταύτης ὀπὸς κυρηναϊκὸς καλεῖται ὀπός. Ἠὲ γάλακτος. ἢ τοῦ γάλακτος τοῦ νεωστὶ πηγνυμένου ἐν τῇ νεαμέλκτῳ πέλλῃ κορεσθείης. τουτέστι τοῦ νεωστὶ τοροῦ πύξαντος. Ταύρου αἷμα. τὸ ταύρειον αἷμα φησὶ Πραξαγόρας πινόμενον, πήγνυσθαι ἐν τοῖς στήθεσι, καὶ θρομβοῦσθαι. εἶτα συνέχον τὸ πνεῦμα, θνήσκειν ποιεῖ. οὐ λανθάνει δὲ πινόμενον, ὥσπερ καὶ τὰ ἄλλα δηλητήρια πολλάκις ἀγνοοῦντες. ἔστι γὰρ ἀτονώτερον τοῦ τῶν ἄλλων ζώων αἵματος, ὡς Ἀριστοτέλης. διὸ καὶ ἀφρόνως εἶπε. τινὲς ἀποκαρτεροῦντες, πίνουσιν αὐτό, καὶ τελευτῶσιν. εἶαρ δὲ τὸ αἷμα, παρὰ τὸ ἐν ἔαρι πλημμυρεῖν, καὶ πλεονάζειν.

* Ἀτονώτατον πάντων αἷμα τοῦτο Ἀριστοτέλης τοῦτό φησιν. εἶαρ δὲ τὸ αἷμα φησί, παρὰ τό, ἐν ἔαρι πλημμυρεῖν. Ἀγλαΐας δὲ εἰαρίτην τὸν αἱματίτην λίθον φησί.

ἀφρίζων. Ἀποκραδίσειας, ἀπὸ τῆς κράδης κόψειας, οἷον, ἀποσυκίσειας, τουτέστι, λάβοις. Ἐρινεοὺς δὲ τοὺς κλάδους τῆς συκῆς. ἐρινεὸς γὰρ ἡ συκῆ, παρὰ τὸ ἐρίζειν παντὶ φυτῷ.

* Διὰ τὸ ἐρίζειν εἰς ὕψος ἀεὶ τῷ πλησίον φυτῷ. ἔστι δὲ ἐρινεὸς ἡ ἀγρία συκῆ.

Ἄλλως. ἀφίλοιο τοὺς τῆς ἀγρίας συκῆς ὀλύνθους. οὗτοι γὰρ μηδέπω ὄντες πέπειροι, ἔχουσιν ὀπόν. Τὸ δ' ἀθρόον. ἀθρόον καὶ πολὺ ὄξος μίξας ὕδατι, συγκέρασον, καὶ δὸς πιεῖν. τὸ δὲ ὄξος φησίν, ὅτε τὸ εἰς ὃ ἀπέβραχησαν οἱ ὄλυνθοι τῆς ἀγρίας συκῆς, ἢ ἁπλῶς ὡς ἑτέρου βοηθήματος. εἰ δὲ τὸ πρότερον εἴη, τὸ ἐμπίσαιο, ἀντὶ τοῦ βρέξον.

Εκ

Ἐκφλοίοιο, ἐκσύρξας, ἐκθλίψας. κλυστὸν φησὶ τὴν γαστέρα, ἢ καὶ τῆς συκῆς φλοιοῦ. Κατεχθέος δὲ, κατέχοντος τὰ περιττώματα τῆς γαστρός. ἢ πολυαχθέος, τῆς πολὺ ἄχθος ἐχούσης, δηλονότι περιττωμάτων. Πυετίην ὀθόνης. πυετίαν φησὶ λαβὼν, ἢ προχοὸς, ὅ ἐστι δορκάδος, ἢ ἐρίφου, ἢ νεβροῦ, ἢ λαγωοῦ, κόψαι καὶ ἔθου ἐν ῥάκει λεπτῷ, καὶ τρεῖς νίτρου ὀβολοὺς τρίψας, μίξον ἐν οἴνῳ, καὶ δὸς πιεῖν. Πολυωπέϊ δὲ, τῷ πολυωπῷ κόλπῳ τῆς ὀθόνης. Ἐνὶ λευκεῖ βάκχου. καὶ τὸ ἐν λευκεῖ, ἡδὺ, ἡδέως. ἰδίως δὲ λευκὰ λέγει τὸν ἡδύν. ἢ μᾶλλον τὸν παλαιὸν, ὡς πυῤῥίζοντα. Σιλφιόεσσαν δὲ λίτραν, ἀντὶ τοῦ ἴσην μοῖραν λαμβάνειν σιλφίου καὶ ὀποῦ, καὶ σπέρμα κράμβης μετ' ὄξους καὶ σιλφίου φησὶ, καὶ ὀποῦ κυρηναϊκοῦ, καὶ σπέρμα κράμβης τῶν ἴσων ὁμοῦ λίτραν μεμοιραμένην. Καταρμόξαιο, κατάξειας τὰ ἁπαλὰ τῆς βάτου. τὴν δὲ πῆξιν τοῦ ταυρείου αἵματος ῥαδίως σκεδάσειας, τοὺς ἱστῶσαν ἐν τῇ γαστρὶ διαθρύψας. Βουπρήστιδος ἐχθρῆς. Βούπρηστις, ζῷόν ἐστι χρύσεον. ὠνόμασται δὲ ἀπὸ τοῦ ἐμπιπράναι τὰς βόας ἐπειδὰν λειχθῶσιν, ἢ μόνον αὐτὸ περιχάνωσι. φησὶν Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων, ὅτι ἐὰν καὶ ἵππος περιχάνῃ τὸν λεγόμενον σταφύλινον, ἔστι δὲ ζῷον ὅμοιον σφονδύλῃ, διαφθείρεται. ἄλλοι δέ φασι ζῷον εἶναι ὅμοιον κανθαρίδι. Μὴ μὲν ἐπαλγύνουσα. μὴ λάθῃ σε ἡ ἀλγηδόνα παρέχουσα πόσις τῆς βουπρήστιδος. πεύσῃ δὲ καὶ γνώσῃ δαμαζόμενον τὸν πιόντα ἄνδρα. Βούπρηστις δὲ, ζῷόν ἐστι παραπλήσιον φαλαγγίῳ. ἢ διατίθησι τὰς βόας κακῶς. τοῖς οὖν πίνουσι φησὶ τὴν βούπρηστιν, ὀδύνη παρακολουθεῖ. Ἡ δ' ἤτοι. ἡ βούπρηστις ἐπιχρώζουσα εἰς τὰ χαλινὰ, λίτρῳ ὁμοίαν ἔχει τὴν γεῦσιν, νίτρῳ τὴν χροίαν παραπλησίαν. γίνεται φησὶ κατὰ τοὺς χαλινοὺς τῶν πινόντων, εἰ μὴ ἄρα νιτρώδεις φησὶν αὐτὴν ἔχειν προφορὰς κατὰ τὴν ἀντίληψιν. περὶ δὲ τὴν κοιλίαν, πόνοι καὶ οὔρων περικρατήσεις. καὶ ἡ κύστις ῥοχθεῖ, ὅ ἐστι ψοφεῖ. τοῖς δὲ ὑδρωπικοῖς παραπλησίως ὀγκοῦται τοῦ δέρματος αὐτοῦ περίτασιν λαμβάνοντος, ὡς καὶ τῶν βοῶν ὅταν φάγωσι τὰ κακώδη, τουτέστι τὰς βοτάνας, ἐν οἷς τὰ θηρία.

Ἠὲ σὺ ἐκφλοίοιο κατεχθέος ἕρματα γαστρὸς,
Καί τε σὺ πυετίην ὀθόνης πολυωπέϊ κόλπῳ
Φύρσιμον ἠθήσαιο ποτὲ προχοὸς, ἄλλοτε νεύρου,
Ἠερίου. τότε δ' ἂν σὺ ἐϋσκάρθμοιο λαγωοῦ
Αἰνύμενος, μογέοντι φέροις εὐαλθέ' ἀρωγήν.
Ἠὲ νίτρου στήσῃ ὀδελοῦ πόρε διπλόον ἄχθος
Εὐτριβέος. κίρνα δὲ πόθον ἐνὶ λευκεῖ βάκχου,
Ἐν δὲ σιλφιόεσσαν ὀπεῖό τε μοιρίδα λίτρην,
Καὶ σπέραδος κράμβης ἅλις μεμορυγμένον ὄξει.
Ἄσσαι δ' ἢ ῥάδικα κακοφλοίοιο κονύζης,
Ἢ πέπρι, βλάστας τε κατασμώξαιο βάτοιο,
Καί κεν πηγνυμένοιο χύσιν διὰ ῥεῖα κεδάσσαις.
Ἠὲ διαθρύψαις ἐν ἄγγεσιν ἐστήψαν,
Μὴ μὲν ἐπαλγύνουσα πόσις βουπρήστιδος ἐχθρῆς
Λήσειεν, σὺ δὲ φῶτα δαμαζόμενον πεπύθοιο.
Ἡ δ' ἤτοι λίτρῳ μὲν ἐπιχρώζουσα χαλινὰ
Εἴδεται ἐμβρυχθεῖσα δυσύπνοος. ἀμφὶ δὲ γαστρὸς
Ἄλγεα δινεύοντα περὶ στομάτεσσιν ὀρώρεν.

ρία. Περὶ στομάτιασιν, ὑπερβατόν. ἐν τοῖς στόμασι τῆς γαστρὸς τὰ ἄλγη περιπλανῶνται. Ορωρι- μία δὲ γίνεται ὕδρωψ, ὧν ὁ εἷς τυμπανίτης λέγεται, ἀφυσγετὸς δὲ καλεῖται. κυρίως μὲν ὁ ἐκ τῶν ποταμῶν γινόμενος, συρφετός. ἔστι ἡ ἀθροιζομένη χορτώδης ὕλη. νῦν δὲ εἴρηκε διὰ τὸ πᾶσαν ἀκαθαρσίαν τοῦ σώματος εἰς τὴν γαστέρα συνερρυηκέναι. Εσχατιῇσιν ὅταν γράφηται, ὁππότε θῦρα δαμαζόμενοι δατέονται. τουτέστιν, ὅτι δατέονται καὶ μερίζονται τὸν τῶν θηρῶν τόπον, οἱονεὶ τὸ ὄρος νομαζόμενοι καὶ βοσκόμενοι. τὸ δὲ ἐσχατιῇσιν ὅταν καυλέα φάγωσι, ὅταν φησὶν ἐν ταῖς ἐσχατιαῖς περὶ τὰ πρόποδα τῶν ὀρῶν τὰ καυλέα τῆς βουπρήστιδος φάγωσι. Τῷ καὶ εὐκραδίης. διχῶς ἡ γραφὴ, καὶ ἡ σύνταξις. μία μὲν οὕτως. τῷ δὲ καὶ εὐκραδίης βριπετῇ ἐν νέκταρι μίξαις, καὶ τὰ ἑξῆς, ἵνα συνταχθῇ οὕτω, διὰ τοῦτο καὶ τῆς καλῆς κράδης τὴν βριπετῆ τῶν σύκων πόσιν τὴν ἐκ γῆς ξηρανθεῖσαν καὶ ὀμφαλόεσσαν ἐν νέκταρι μίξαις. βριπετῆ οὖν, οἱονεὶ βριπέτηλον, τὴν ἐκ σύκων χιζομένην εἰς βία πέτηλα. τὰ γὰρ σύκα ξηραινόμενα, εἰς βία χίζονται. ἢ ὅτι τὰ φύλλα τῆς συκῆς εἰς βία ἔχεται. Ομφαλόεσσαν δέ, ἢ τὴν τοῦ ὀμφαλοῦ προσεχάνουσαν, ἢ τὴν ἐκ σύκων τῶν ὀμφαλοὺς ἐχόντων. τὰ γὰρ σύκα κάτω ὀπὰς ἔχουσι δίκην ὀμφαλοῦ, δι᾽ ὧν περὶ ὁ ὀπὸς αὐτῶν ῥεῖ. γράφεται καὶ βριτεῖ ἐν νέκταρι, ἵν᾽ ᾖ, τῆς καλῆς κράδης τὴν ἐκ τῶν σύκων ἀνανθεῖσαν ἅλις πόσιν, τὴν ὀμφαλόεσσαν, ἐν βριτῇ νέκταρι μίξαις. Αλλως. ἀνανθεῖσαν, τὴν ὑπὸ ξηρῶν σύκων. βριπετῇ δέ, βίχισον. ὅτι τὰ φύλλα τῆς συκῆς εἰς βία ἔσχισται. γράφεται τοῖς δὲ καὶ εὐκραδίης. κελεύει οὖν ξηρὰ σύκα ἐν οἴνῳ ἑψήσαντα διδόναι πιεῖν. ἡ ὀμφαλόεσσαν, τὴν βοφώδη περὶ τὸν ὀμφαλόν. βρῶσις γὰρ ὁ ὀμφαλός. ἐπεὶ δι᾽ αὐτοῦ τὰ ἔμβρυα πάντα τὴν τροφὴν δέχεται, καὶ ἀναπνεῖ. τοῦ στόματος μεμυκότος διὰ τὸ πλῆθος τῶν ὑγρῶν, ἵνα μὴ ἀποπνίγηται. Μελιζώροιο. ἀμφίβολον ποτήριον, διὰ τὸ τῶν σύκων πόμα μελίζωρον εἴρηκεν, ἢ ἕτερον ἐκ τῆς μελιζώρου βοτάνης. τὸ δὲ γλάγος εἰς ἓν χεύαις, ἀσαφέστερον δηλονότι. μίξον δέ φησι τὸ γάλα τοῖς ξηροῖς φοίνιξιν. Αλλοτε δ᾽ αὐαλέης. ἀπὸ κοινοῦ τὸ κατεμίσγειο καρπόν. ἀχράς δέ, καὶ βάκχη, καὶ μυρτίνη, εἴδη ἀπίων. ἔστι δὲ καὶ εἶδος ἐλαίας, μυρτίνη καλουμένη.

Οὖρα δὲ τυφλοῦται, νεάτη δ᾽ ὑπὸ κύστις ὀρεχθεῖ,
Πᾶσα δ᾽ ἔσω νηδὺς διαπίμπραται. ὡς δ᾽ ὁπόθ᾽ ὕδρωψ
Τυμπανόεις ἀνὰ μέσσον ἀφυσγετὸν ὀμφαλὸν ἵζει.
Αμφὶ δ᾽ ἔθειρ γυίοις τετανὸν περιφαίνεται ἔρφος.
Η καί που δαμάλεις, ἐριγάστορας ἄλλοτε μόσχους
Πίμπραται, ὁππότε θῦρα νομαζόμενοι δατέονται.
Τοὔνεκα τὴν, βούπρηστιν ἐπικλείουσι νομῆες.
Τῷ μὲν εὐκραδίης βριπετῆ ἐν νέκταρι μίξαις,
Σύκων αὐανθεῖσαν ἅλις πόσιν ὀμφαλόεσσαν.
Ηὲ καὶ σφύρῃ μιγάδην πεθλασμένα κόψας,
Εμπυρὶ τηξάμενος πυρετῶν ἀλκτήρια νούσων.
Καί κε μελιζώροιο νέον κορέσαιο ποτοῖο
Ανέρα λαιμώσσοντα, ποτὲ γλάγος εἰν ἑνὶ χεύαις,
Πολλάκι φοίνικος ψαφαρὸν καταμίσγεο καρπόν.
Αλλοτε δ᾽ αὐαλέης δὴν ἀχράδος, ἢ ἀπὸ βάκχης,
Η ἀπὸ μυρσίνης, ὅτε μυρτίδας οἰνάδι βάλλων.

Η ὅτι καὶ

Ἠ ὅγε καὶ θηλῆς. θηλάζειν φησὶ τὸν πάσχοντα, τὸ τὶ μὲν γυναικεῖα, ποτὲ δὲ βοῶν. Ἄπε δὴ βρέφος. ὡς οἷα βρέφος ἀρτιγονὶς, οὕτως ἐμπελάζοι τῷ δισμῷ ἤγουν τῷ μαστῷ. Μοχνάδον δὲ μόσχου δίκην. δι' οὗ σημαίνει τὸ ἁπαλὸν καὶ θυφερόν. μόσχευμα γὰρ πᾶν τὸ ἁπαλόν. Ὅμηρος, Μό-

κάρπου μεμιγμένην πόσιν. ἢ φυκτοῦ ἀχράδος. ἢ ἄλλων ἀπίων μετ' οἴνου. ἢ ἵνα θηλάζῃ μαστὸν γυναικὸς ὡς παιδίον, ἢ θερμοῦ ἐλαίου εἰς κόρον πόσιν. δεῖ δὲ ἐφ' ἑκάστῃ πόσει τοὺς δακτύλους χαλᾶν. ἢ πάπυρον, ἢ πτερὰ ἐμβάλλειν εἰς τὸ στόμα καὶ ἀναγκάζειν ἐμεῖν, ὅπως τάχιστα τῆς νόσου ἀπαλλαγῇ. Ἢν δ' ἐπιθρομβωθῇ. ἐὰν δὲ θρομβωθῇ, ὅ ἐστι τυρωθῇ τὸ νεαλὲς γάλα, ἤγουν τὸ νεωστὶ πιεῖν, πνιγμὸς ἐπακολουθεῖ, εἰς ἓν ἀθροιζομένου τοῦ πόματος, ἤγουν τοῦ γάλακτος. Τριασὰς δὲ πόσιας, ἀντὶ τοῦ τρεῖς μοίρας. Μέσσα μὲν ὄξευς, δοιὰς δὲ γλυκέος. τουτέστι τὰς δύο μοίρας γλυκέος, καὶ τὴν μέσην τούτου, τουτέστι τὴν μίαν, ὄξους. Ἠέ τι καὶ λιβύηθεν. ἀλλὰ καὶ τὸ ἐκ τῆς λιβύης σιλφίου τὰς ῥίζας. Ποτῷ ἐγκνήθεο, τουτέστιν ἔμβαλε. Ἄλλοτ' ὀποῖο. ὀποῦ τοῦ κυρηναϊκοῦ λέγει. Ἴσθι ὅτι οὗτος ὁ ὀπὸς συνεστικώς ἐστι, καὶ πεπηγώς, ὥσπερ τὸ κόμμι, δίον, ἢ ὁ λίβανος, ἢ ἡ μαστίχη ἢ τι τοιοῦτον. δια-

Ἠ ὅγε που θηλῆς ἄπο δὴ βρέφος ἐμπελάοιτο
Ἀρτιγόνες, μαστοῦ δὲ πρόμμοχθον ἀμέλγοι.
Οἵη τ' ἐξ ὑμένων νεαλὴς ὑπὸ οὔθατα μόσχος
Βράττει ἀνακρούουσα χύσιν μενοεικέα θηλῆς.
Ἄλλοτε πιαλέης πόσιος χλιαροῖο κορέσσαις,
Ἐς δ' ἔμετον βιάοιο, καὶ οὐ χατέοντά περ ἔμπης
Χειρὶ βιαζόμενος, ἢ ἐν πτερῷ, ἢ ἀπὸ βύβλου
Στρεπτὸν ἐπιγνάμψαιο κακὴν ἐρυτῆρα φάρυγγος.
Ἢν δ' ἐπιθρομβωθῇ νεαλὲς γάλα πεύχεϊ γαστρὸς,
Δὴ τότε τὸν μὲν ἔτε πνιγμὸς ἀθροιζομένοιο δαμάζει.
Τῷ δή τοι τρισσὰς πόσιας πόροις, μέσσα μὲν ὄξευς,
Δοιὰς δὲ γλυκέος, στεγανὴν δ' ὑποσύρεο νηδύν.
Ἠέ τι καὶ λιβύηθε πρὸ τῶν ἐγκνήθεο ῥίζας
Σιλφίου, ἄλλοτ' ὀποῖο, νέμοις δ' ἐν βάμματι τήξας.
Πολλάκι δὲ θρύπτειραν ἐπεγκράσσαιο κονίλην,
Ἠὲ νέον βρυόεντα θύμου στάχυν, ἄλλοτ' ἀμύνα

χοισι λύγοισιν. Οἵη τ' ἐξ ὑμένων ταράσσει ἡ νεαλὴς, ὅ ἐστιν, ἡ παρὰ μόσχος τὰ οὔθατα ἀνακρούουσα ἐκ τῶν ὑμένων, ταράσσει τὴν μενοεικέα χύσιν τῆς θηλῆς, καὶ τὰ ἑξῆς. Ἄλλοτε πιαλέης πόσιος. ἔλαιον φησὶ θερμὸν λαβὼν, βιάζου ἐμεῖν ἐντιθεὶς τὰς χεῖρας, ἢ πτερὸν, ἢ πάπυρον τὸν πρὸς ἔμετον ἐπιτήδειον τῶν καλουμένων φυσὶ τῆς φάρυγγος ἑλκυστῆρα. ἀνακεφαλαίωσις τῆς θεραπείας τῆς βουπρήστιδος. ἀπὸ συκῆς ξηρῶν σύκων τετριμμένων μετ' οἴνου πόσις, ἢ μαλ ζώρου ἰκανὴ πόσις. ἢ γάλακτος, καὶ φοινίκων

τοῦτο οὖν εἶπε τήξας, διονεὶ ἀναλύσας. Ἐν βάμματι οὖν τήξας, ἀντὶ τοῦ, ἐν ὄξει διαλύσας. ὁ γὰρ κυρηναϊκὸς ὀπὸς διαλύει τὴν φαρμακείαν. καὶ γὰρ ἐὰν πεπηγότι γάλακτι ἐπιχέῃ αὐτόν τις, διαλυθήσεται. ἔστι δὲ καὶ τὸ νίτρον διαλυτικὸν τοῦ γάλακτος. Κονίλην, ἤτοι κονίαν ἢ θύμου καρπὸν, ἢ τῆς εὐκνήμου βότρυν, ὅπερ κόριον καλοῦσι μετ' οἴνου. Ἄλλοτ' ἀμύνῃ. ἄλλοτε δὲ ἀμύνῃ καὶ, βότρυς εὐκνήμου. ὡσανεὶ τῆς καλὰς κνήμας ἐχούσης ἀμπέλου. κνήμας δὲ τὰ μεταξὺ τῶν κονδύλων, ἢ τῶν καμπῶν λέγει.

τοῦ βότρυος βρεχθέντος ἐν οἴνῳ.
Ἐν καί που ταμίσοιο. τοῦτο ἄξιον θαύματος, ὅπως ἡ πιτύα διαλύει τὸ συνεστηκὸς ἐν τῇ κοιλίᾳ γάλα. ἀλλ' οὖν ἄλλο τὸ συνίστησι. καὶ τὸ μελισσόφυλλον δέ φησι δίδου σὺν ὄξει. ἢ μελίσσης τρὸν ἔφη τὸ μέλι. Στυφόεν δὲ τρόπον, τὸ ἡδύοσμον ἔφη κατ' εὐφημισμόν. Μίνθη δὲ ᾅδου παλλακὴ οὖσα καλουμένη, ἣν διεσπάραξεν ἡ Περσεφόνη. ἐφ' ᾗ τὴν ὁμώνυμον πόαν ἀνέδωκεν ὁ ᾅδης. Τὸ δορύκνιον, ὃ καὶ μελισσόφυλλον καλεῖται, ἀγρία βοτάνη ἐστὶν ἄνθητι. κοπτομένη ὀπὸν ἀποστάζει ὅμοιον γάλακτι τὴν θέαν, καὶ τὴν γεῦσιν, καὶ τὴν ὀσμήν. ὅθεν καὶ δυσδιάκριτόν ἐστι τῷ πίνοντι, πότερον γάλα ἐστὶν, ἢ οὔ. Δημοφῶν δὲ ἱστορῶν φησιν οὕτω κεκλῆσθαι, διὰ τὸ δόρατι αὐτὸν ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν. Λυσίμαχος δὲ ὁ Ἱπποκράτειος, διὰ τὸ ξύλον εἶναι κνίφους παρασκευάσι κοντὸν τοῖς προσαγκαλμένοις. Ὠπὴ δὲ, ἡ πρόσοψις. ἡ θέα. τὸ εἶδος. καὶ ἡ βρῶσις περὶ τοῖς στόμασιν ἀπεικάζεται γάλακτι. Λυγμοὶ δὲ, αἱ τοῦ πνεύματος ἀναγωγαί.

Βότρυες εὐκνήμοιο μέγα βρεχθέντες ἐν οἴνῃ.
Ἐν καί που ταμίσοιο πέριξ διεχεύατο θρόμβους,
Καὶ χλοεραὶ μίνθης ἀποφυλλάδες ἠὲ μελίσσης,
Ἠὲ ἐπὶ σισύφου τε περὶ μεμορυγμένα ὄξευς.
Ἀλλ' ἄγε δὴ φράζοιο δορύκνιον, ὅν τε γάλακτι
Ὠπῇ τε βρώσει τε περὶ στομάτεσσιν ἔικται.
Τῷ δ' ἤδη λυγμοὶ μὲν ἀηθέσσοντες ὁμαρτῇ
Αὐχέν' ἀνακρούουσιν. ὁ δ' ἀχθόμενος στόμα γαστρὸς
Πολλάκι μὲν δαίτην ἀπερεύγεται αἱματόεσσαν,
Ἄλλοτε νηδύων θολερὴν μυξώδεα χεύει.
Τεινεσμῷ δ' ὡσεί τε δυσεντερίοις ἀχθόμενος φώς,
Δή ποτε τειρόμενος καμάτοις κάρφουσι δ' ἔδουπε
Γυῖα δαμείς. οὐ μὴν προθέλξεις κενεὸν στόμα βρέξαι.
Τῷ δὲ σὺ πολλάκι μὲν γλάγεος πόσιν, ἄλλοτε μίσγειν
Ῥεῖα γλυκὺν νείμαιας ἀλυκότερον δεπάεσσι.
Καί τε καὶ ὄρνιθος ἐν ὕδασι πυρὶ τηκομένη σάρξ,
Θωρήκων ἤμυνεν εὐτρεφέων βρωθεῖσα,
Ἤμυνεν δὲ χυλὸς ἄλις κύμβῃσι ῥοφηθείς.
Ὅσσα τε πετρήεσσιν ὑπὲρ ῥόχθοισι θαλάσσης

Τεινεσμῷ, τῇ διαστάσει. διαφέρει τεινεσμὸς καὶ δυσεντερία. σύνεγγυς μέντοι ἀλλήλων. καὶ γάρ ἐστι πάθος, ὅ ἐστι χορδαψός. τεινεσμὸς δέ ἐστιν ὃν νῦν λέγομεν βιασμόν. τοῖς τεινεσμώδεσι παρακολουθοῦσι, δυσεντερία. εἶτα, ὁ χορδαψός. ἕτεροι δέ φασι συναμματιζομένου ἐντέρου, οὗ προηγεῖται τεινεσμός. Καί τε καὶ ὄρνιθος. καὶ τῆς ὄρνιθος τηκομένη ἡ σάρξ, τὴν εὐτρόφων στηθῶν ἤμυνε βρωθεῖσα. τὸ στῆθος τῆς λιπαρᾶς φησιν ὄρνιθος βρωθὲν, ὠφελεῖ. Θωρήκων οὖν, τῶν στηθίων σαρκῶν. Καὶ χυλὸς ἄλις. ἤτοι τοῦ στήθους τῆς ὄρνιθος ὁ χυλὸς, ἢ ἕτερον βρόθημα, χυλὸν λέγει πτισάνης. ἄμεινον δὲ τὸ πρότερον. Καὶ ὁ χυλὸς τῶν ὀστρέων, τουτέστιν ὁ ζωμὸς ῥοφηθεὶς, ὠφελήσει. Καὶ ὅσα κατὰ τὴν φυκιόεντας ἀγμοὺς, ὅ ἐστιν αἰγιαλοὺς περιβόσκεται κνώδαλα. κωβιοὶ, καὶ τὰ τοιαῦτα.
Κάλχης. εἶδος πορφύρας, ἀφ' ἧς αἱ γυναῖκες κάλχιον βάπτουσιν. καλχαίνειν δὲ, τὸ πορφύρειν. τὸ δὲ στρόμβον, ὃν ἔλεγον οἱ ἀρχαῖοι ὄστρα-

κον τὴν

κὸν τῶν κογχυλίων, διὸ καὶ ἐχρῶντο ἀντὶ σάλπιγγος. καὶ Ἀπολλόδωρος ἐν τοῖς Ὁμήρου, οὕτως εἶπε. Στρόμβον δ' ὡς ἐστένα. Αἰθύντος δὲ ἐχίνου, ἐρυθροῦ, καὶ πυρροῦ κατὰ τὴν σάρκα. Τήθυν τι, τὰς ἀγρίας λεπάδας, ἃς ἡμεῖς ὠτία λέγομεν. ὁ δὲ Ἀριστοτέλης, ὄστρεα. καὶ Ὅμηρος καὶ

Φαρίν τι σπάρτιον τι. τοῦτο δὲ τὸ πρὸν, τῇ μὲν γεύσει, ἐστὶν ὅμοιον νάρδῳ, τῶν δὲ πεπωκότων τὰς σιαγόνας ἐνέπλησε. τοῖς δὲ τοῦ σώματος πᾶσι μέλεσι, τρόμον ἐπήνεγκε, καὶ παραφροσύνην ἐν τοῖς τῆς ψυχῆς νοήμασιν ἐνέθηκεν. Ἤνυσε δὲ, σφαλεροὺς ἐποίησε, τρομεροὺς, καὶ παράφρονας. καὶ ἐν μιᾷ ἡμέρᾳ πολλάκις πρὸς θάνατον ἤγαγε.

κνώδαλα φυκιόεντας ἀεὶ περιβόσκεται ἀγμούς,
ὧν τὰ μὲν ὠμὰ πάσαιτο, τὰ δ' ἑφθέα, πολλάκι δ' ἄλλ
ἐμφλογιῇ, στρομβῶν τε πολὺ πλέον, ἠὲ κάλχης ψας
κηραφίδος, πίννης δὲ σὺν αὐξήσαντες ἐχίνου
δαῖτας ἐπαλθήσουσιν, ἰδὲ κτένες, οὐδ' ἔτι κῆρυξ
δὴν ἔσσεται, τήθη τε γηραιομένη μνίοισι.
μὴ δέ σε γ' ἐχθομένη λήθη πόσις, οὐ γὰρ ἀΐδρις
φαρικοῦ ἢ γναθμοῖσιν ἐπὶ βρύον ὤπασε μόχθον,
τὴν ἤτοι γνυθμῷ μὲν ἰσαιομένην μάθε νάρδῳ.
ἤνυσε καὶ σφαλεροὺς ὅτε δ' ἄφρονας. ἓν δὲ μονήρει
ῥηϊδίως ἀκτῖνι βαρὺν κατεναίρεται ἄνδρα.
ἀλλὰ σὺ πολλάκι μὲν σταδίην εὐανθέα νάρδου
ῥιζάδα θυλακόεσσαν ὀπάζεο, τήν τε Κίλισσαι
πρηόνες ἀλδαίνουσι περὶ πλημμυρίδα Κέστρου.
ἄλλοτε δὲ σμύρνειον εὐτριβές. αἴνυσο δ' αὐτὴν
ἴριδα λειριόεντι κάρη. τότ' ἀπέστυγεν ἀφρώ,

Μονήρει δὲ ἀκτῖνι, ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ ἀναιρεῖ τὸν ἄνδρα τὸν βαρὺν, τουτέστι γενναῖον. ἰδίως δὲ μονήρει εἶπε. Σταδίην δὲ, σταθμῷ, ἢ ἀντὶ τοῦ σταθμωθεῖσαν. οὐκ εἶπε δὲ πόσιν. Καὶ θυλακόεσσαν, τὴν ἐμφερῆ θυλάκῳ. σχηματίσας δὲ εἶπεν ἀπὸ τῆς ῥίζης. τοιαύτη δέ ἐστιν ἡ τοῦ νάρδου ῥίζα θυλακώδης τὸ εἶδος. Ἄλλοτε δὲ σμύρνειον. τὸ σμύρνειον παραπλήσιόν ἐστι νάρθηκι. τὸ δὲ σπέρμα, πράσου ἔχει, ὀσμὴν δὲ σμύρνης. Τὸ δὲ ἴριδα, ὤφειλεν ἶριν, ὥσπερ ἔριν. ἔστι δὲ καὶ ὀξύτονος ἰρὶς, ὥσπερ βολίς. ἢ ὡς κύπριδα. Γνυθμῷ, τῇ γεύσει. Ἰσαιομένην, ὁμοίαν. Ἤνυσεν, ἐποίησε σφαλεροὺς, τρομεροὺς, καὶ παράφρονας μονήρει μιᾷ. Πρηόνες ἀλδαίνουσιν, αἱ ἐξοχαὶ αὐξάνουσι. Κέστρου, ποταμοῦ Παμφυλίας, ἢ Κιλικίας. Αἴνυσο, λάβε. Λειριόεν κάρη, τὸ τοῦ κρίνου ἄνθημα. Ἀφρὼ, ἡ Ἀφροδίτη, ἡ ἀφρογενὴς ὑποκοριστικῶς. Θρύοις, φύλλοις. Ὀνειδείην, αἰσχύνην. Βρωμήτορος, τοῦ ὄνου. Ἐναλδήσασα, ἐναυξήσασα. Κερούχην, τὸ αἰδοῖον τοῦ ὄνου. Σκύλλαιο, ξύρισον. Ἐπισίνατο, ἔβλαψε. Περὶ κόρσεα πλάστοις. τὰ πλάσατα τῆς κεφαλῆς. Λειριόεντι κάρη, τὴν κεφαλὴν τοῦ κρίνου. τὸ δὲ

νὰς τὰ ὄστρεα. Τὸ δὲ δὴν ἔσσεται, ἤτοι πολὺ ἄπεστιν, ἀντὶ τοῦ ἐκποδὼν ἔσται. Καὶ τὸ γηραιόμενον, αὐξανόμενον ἐν τοῖς βρύοις, ἢ νηχόμενον, ἢ ἀγρευόμενον, ἢ κοσμούμενον. Φαρικοῦ ἤ. τὸ φαρικὸν ὁμοίως τῶν θανασίμων ἐστίν. ἱστορεῖ δὲ Πραξαγόρας κληθῆναι αὐτὸ ἀπὸ φαρμακοῦ τινος Κρητὸς, τοῦ εὑρόντος αὐτό. Ἄλλως. τοῦτό φασιν ἐν Φάροις τῆς Ἀρκαδίας εὑρεθῆναι. καλεῖται δὲ καὶ μηδικόν. τινὲς δέ φασιν αὐτὸ πρῶτον ἐν Θεσσαλίᾳ εὑρεθῆναι, ἐν Φερραῖς. ἄλλοι δὲ ἐν Λακεδαίμονι. Φάρις γὰρ ἐστὶ τῆς Λακωνικῆς.

δὲ λέγεται ἐρίσαι τῇ Ἀφροδίτῃ περὶ χροιᾶς. ἣν δὲ ὀργισθεῖσαν, ὅμοιον αἰδοίῳ ποιῆσαι ὄνου.

* Λείριον ἡ κεφαλὴ τοῦ κρίνου. ὃ περὶ λευκότητος ἐρίσασαν τῇ Ἀφροδίτῃ, ὄνου αἰδοίῳ ἀπεικασθῆναι κατὰ μῆνιν ἐκείνης.

Σκύλαιο κάρη. κελεύει ξυρᾶν τὴν κεφαλὴν αὐτοῦ, καὶ καταπλάττειν πηγάνῳ, καὶ ἀλεύρῳ κριθίνῳ. καὶ τρίβειν νάρδῳ ὡς πλεῖστον, καὶ ὄξους ἰσχυρὰ σμήχειν. βάπτεσθαι δέ φασι τὸ πήγανον) ὑπὸ τῆς κάμπης. ξύρισον φησὶ τὴν κεφαλήν, καὶ κατάπλασαι) ὠμῇ λύσει μετὰ πηγάνου. τὸ δὲ πήγανον περὶ τὸ πήγνυσθαι τὴν γονήν. ἔστι δὲ καὶ ἐπισχετικὸν τῆς συνουσίας. διὸ καὶ οἱ μυούμενοι αὐτῷ χρῶνται. ἢ διὰ τὸ ἐν πάγοις φύεσθαι τὸ πήγανον. Ἄλλως. σκύλαιο φασὶ τὴν κεφαλὴν τοῦ πηγάνου, καὶ ἔπαρον αὐτοῦ τὴν λάχνην, ἤγουν τὸ ἄνθος, καὶ κόψας αὐτὸ κατ' αὐτὴν εὐήκει ξυρῷ, ὅ ἐστιν εὐακονήτῳ, ἕψησον ἄλευρα κριθῶν μάλιστα, καὶ φυλλάδα πηγάνου ἐν ὄξει, καὶ ποίησον μοχίσκους, καὶ ἐπὶ τὴν κεφαλὴν τοῦ πάσχοντος κατάπλασσε. Μὴ μὲν ὑοσκυάμοιο. μηδεὶς ἀπείρως ἔχων τοῦ ὑοσκυάμου, τὴν νηδὺν κορέσκοι, διαπταίουσιν οἱ σφαλλόμενοι ταῖς φρεσίν. ἰδίως δὲ εἴρηκε τὰ αὐδήεντα, ἀντὶ τοῦ αὐδηέντως. λέγει οὖν, ὅτι ἐάν τις ἀπείρως προσενέγκῃ τὸν ὑοσκύαμον περὶ τὰ ἄπαλὰ λάχανα σὺν τοῖς σπέρμασιν ἁπαλοῖς οὖσιν, ὃ καὶ, ὅταν τὰ παιδία προσενέγκωνται, πρίειν παραφυλάττεσθαι. παρασφαλέες δὲ ἔρχονται, ἀντὶ τοῦ, οἱ ἐσφαλμένοι βαίνουσι, καὶ σπεύδουσιν. Ἠὲ νέον σπείρημα. σπείρημα λέγεται τὸ ἄνθος τῶν

κόμης, ὅ ἐστιν ἁπαλόν. ὃ δὴ πολλάκις συμβαίνει τοῖς ὕλῃ δυναμένοις πρὸς, χωρὶς τῶν τιθηνῶν πορευόμενα, καὶ ἐσθίειν. Ἄλλως. νέον σπείρημα οἱ ἔτι τὰς θρίχας ἀπὸ τῆς σπορᾶς φθείρουσι. σπείρημα δὲ τὸ σπέρμα. Καὶ ἀμφικάρηνα κομάων. ἤγουν τὰ περὶ τὴν κεφαλὴν τῶν

Οὕνεκ' ἐριδμαίνεσκε χροιῆς ὕπερ, ἐν δέ νυ θείοις
Ἀργαλέην μεσάτοισιμ ὀνειδείην ἐπέλασσε,
Δεινὴν βρωμήεντος ἐναλδήσασα κορύνην,
Κέρσας εὐήκει νεόθηγι ξυρῷ. ἐν δέ νυ θάλψας
Ἢ ἀκριθάωμ νεοθηλέα, φυλλάδα τ' ἴχνην.
Πολλάκι δὲ σκύλαιο κάρη, περὶ δ' αὔνυσο λάχνην
Πηγάνου, ἥμ τ' ὤκιστα βοῇ ἐπεσίνατο κάμπη,
Βάμματι δ' ἐνδεύσαιο. ἢ εὖ περικόρσεα πλάσσοις.
Μὴ μὲν ὑοσκυάμοιο τις αὐδήεντα κορέσκοι
Νηδὺν, οἷά τε πολλὰ παρασφαλέες συνέρχονται.
Ἠὲ νέομ σπείρημα ἢ ἀμφικάρηνα κομάωμ,
Κοῦροι ἀπεπτάμενοι, ὁλοὴν δ' ἑρπηδόνα γυίωμ,
Ὀρθόποδες βαίνοντες ἄνις μογεροῖο τιθήνης.
Ἀλοσύνῃ βρύκωσι κακανθήεντας ὀράμνους.
Οἷα νέομ βρωτῆρας ὑπὸ γναθμοῖσιμ ὀδόντας

κομῶν. γράφεται δὲ τὸ σπέρχονται, καὶ τεύχονται, ἀντὶ τοῦ πρίουσιν. ὁ δὲ νοῦς τοιοῦτος. τὰ παιδία τὰ νεωστὶ ἐκφυγόντα τὸ ἐπὶ γαστέρα σύρεσθαι, καὶ τετραποδίζειν, καὶ ἀπεσπάμενα τὴν τῶν θριχῶν τὸ ἀμφικάρηνον, τουτέστι, τὰ νεωστὶ κουρευθέντα, καὶ ἀρξάμενα περιπατεῖν ἄνευ τοῦ τροφοῦ. λέγει δὲ τὰ ὄντα περὶ τὰ τέσσαρα ἔτη, καὶ τὰ πέντε. ταῦτα γὰρ ἐπιτυγχάνοντα τοῦ ὑοσκυάμου ἐσθίουσιν αὐτὸν, καὶ βλάπτονται. Ὀλοὴν δὲ ἑρπηδόνα γυίων, ἤτοι τρόμον, καὶ τὸν συρμόν. Ἄνις δὲ, ἀντὶ τοῦ τῇ ἀφροσύνῃ βρύκωσι τοὺς κακανθήσαντας κλάδους. Οἷα νέον βρωτῆρας.

διο

διὰ δὲ οἱ κωφοὶ ἐν τοῖς γναθμοῖς τοὺς βρωτῆρας ὀδόντας ὑποφαίνοντες, τοιοῦτός φησι κνηθμὸς ἐν τοῖς φαγοῦσιν ὑοσκύαμον, οἷος ἐν τοῖς παισὶν ὅταν ἀποβάλλωσι τοὺς ὀδόντας. Βουκέραος δὲ, εἶδος βοτάνης. τοῦτο δὲ καμπύλον ἐστὶ, καθάπερ βοὸς κέρας, διὸ καὶ τῆς ὀνομασίας ταύτης

λαίῳ. Ὠμόβρωτον, τουτέστιν ὠμὰ τὰ φύλλα δαμασάσθαι, καὶ τὸν χυλὸν αὐτῶν καταπίνειν. Κίχορα δὲ καὶ καρδαμίδα, εἴδη λαχάνων. καὶ γηθυλλίδας, εἶδος κρομμύων. ἤτοι τὰς κεφαλὰς, ἢ τὰς ῥίζας, ἢ τὰ ὑπ' ἐνίων λεγόμενα ἀγριόφυτα. Καὶ εὐαγλὶς, καλὰς ἀγλῖθας ἔχουσα. ἀγλῖθες, οἱ κόκκοι· ἐξ ὧν αἱ κεφαλαὶ τῶν σκορόδων σύγκεινται. ἅπερ σκελίδια ἡ συνήθεια φησί. Τὰ δὲ κίχορα οἱ ἀττικοὶ κιχόρια φασίν. ἡμεῖς δὲ γογγύλια.

φαίνοντες, τότε κνηθμὸς ἐνοιδέα δάμναται οὖλα.
Τῷ δ' ὅτε μὲν καθεψῆν γλάγεος πόσιν ἤλιθα πίνοις,
Ἄλλοτε βουκέραος σιτηγόνου ὄρρα κεραίας
Εὐκαμπὴς πετάλοισιν ὑπηνεμίοισιν ἀέξει,
Ἀτμενίῳ μέγ' ὄνειαρ ὅτ' ἐμπλώῃσιν ἐλαίῳ.
Ἠὲ σύ γ' αὐαλέον κνίδης σπόρον, ἄλλοτε δ' αὐτὴν
Νείμαις ὠμοβρῶτ' ἄδην ἀνὰ φύλλα τ' ἀμέλξας,
Κίχορα καρδαμίδας τε, καὶ ἣν πρασεῖον ἔρυσιν,
Ἐν δέ τε νάπειαν, ῥάφανόν θ' ἅλις, ἐν δέ τε λεπτὰς
Ἄμμιγα κρομμύων γαθυλλίδας. ἤρκεσε δ' αὐτὴν
Εὐαγλὶς κώδεια νέον σκορόδοιο τεθεῖσα.
Καὶ σὺ δὲ μήκωνος κεβληγόνου ὁππότε δάκρυ
Πίνωσιν πεπύθοιο καθυπνέας, ἀμφὶ δὲ ἄκραν
Γυῖα καταψύχουσι, τὰ δ' οὐκ ἀναπίτναται ὄσσε,
Ἀλλ' αὔτως βλεφάροισιν ἀκινήεντα δέδηεν.
Ἀμφὶ δὲ ὀδμήεις καμάτῳ περιλείβεται ἱδρὼς

* Κίχορα ἡμεῖς μὲν γιδικίδια. οἱ δὲ ἀττικοὶ κιχόρια. Γαθυλλὶς τὸ νέον κρόμμυον.

Μήκωνος κεβληγόνου, τῆς ἐν τῇ κεφαλῇ τὸν γόνον ἐχούσης, ὅ ἐστι τὸ σπέρμα. συγγενὲς δὲ τὸ β τῷ φ. καὶ Καλλίμαχος, Ἀμφί τε κεβλὴν εἰργμένος, ἀγλίθων οὖλον ἔχει στέφανον. τινὲς τῆς κατὰ τὴν κεφαλὴν κομώσης μήκωνος. τοιαύτη γάρ ἐστιν ἡ μήκων, ἐν τῇ κεφαλῇ ἔχουσα τὸν γόνον. μήκων δὲ εἴρηται παρὰ τὸ μὴ κοεῖν, ὅ ἐστι μὴ ἐνεργεῖν. κοεῖν δὲ λέγεται τὸ ἐνεργεῖν. κωλυτικὸν δὲ τοῦτο τῆς κατὰ φύσιν ἐνεργειῶν. Καθυπνέας, ὑπνοῦντας. ἄγει δὲ τὸ μηκώνειον εἰς ὕπνον. ἐτυμολογοῦσι δὲ τὴν μήκωνα, ἤτοι παρὰ τὸ μὴ ἀκοεῖν, ὡς εἴρηται, μὴ δὲ ἐνεργεῖν ποιοῦσαν. Οὐκ ἀναπίτναται δὲ ὄσσε, ἀντὶ τοῦ, οὐκ ἀνοίγονται οἱ ὀφθαλμοί. Καὶ δέδηεν, ἀντὶ τοῦ δέδεται. δεσμεῖται. Ὀδμήεις δὲ, ὀζώδης. ὀδμὴν ἔχων τὴν ἀπὸ τοῦ ὀποῦ. φέρεται δὲ ἱδρὼς ψυχομένου τοῦ σώματος. τὸ δὲ πρόσωπον, ὠχρὸν γίνεται, καὶ τὰ χείλη ἐμπίμπραται. Ἐκ δέ τε παῦρον. ἐκ δὲ τοῦ αὐχένος ὀλίγον ἆσθμα ἑλκόμε-

ἔτυχε. Καὶ σιτηγόνου, τῆς εἰς σιτισμὸν καὶ τροφὴν γινομένου. γράφεται καὶ χιλογόνου. Ὄρρα κεραίας. ὥσπερ ὁ βουκέραος κεραίας τινὰς ἀκαμπεῖς κάτωθεν ὑπὸ τοῖς ὑπηνεμίοις φύλλοις αὔξει. Ἄλλως. σιτηγόνου, γράφεται καὶ κεβληγόνου τῆς ἐν τῇ κεφαλῇ ἔχοντος τὸν γόνον. κέβλη δὲ ἡ κεφαλὴ, ἐν συγκοπῇ τοῦ α, καὶ τροπῇ τοῦ φ εἰς β. Ἀτμενίῳ δὲ, τῷ ἐλαίῳ τῷ μετὰ κακοπαθείας γινομένῳ. ἀτμένες δὲ οἱ δοῦλοι, διὸ ἔπεται τὸ κακοπαθεῖν. μέγα φησὶν ὄνειαρ ἐστὶ τὸ βουκέρας, ὅτε ἐμπλεύσῃ καὶ βραχῇ τῷ ἀτμενίῳ ἐ-

νον ψυχρὸν διέρχεται. καὶ πάρεισις τῶν σιαγόνων γίνεται. πολλάκις δὲ καὶ οἱ ὄνυχες πελιδνοὶ γινόμενοι, ὡς ἐκτὸς τοῦ αἵματος χωροῦντος. καὶ ἡ ῥὶς στρεβλουμένη, καὶ οἱ ὀφθαλμοὶ κοῖλοι γινόμενοι, θάνατον ἀπαγγέλλουσι. Μέλοιο δὲ, ἐπιμελοῦ τῆς θεραπείας καὶ βοηθείας, γλυκὺν θερμὸν οἶνον διδοὺς αὐτῷ.

τὰ κηρία ὄμπνας.

* Πολυωπέας ὤπασαν ὄμπνας. ὄμπνας λέγουσι πυροὺς μέλιτι δεδευμένους. Βοσκόμεναι δὲ θύμα, ἀντὶ τοῦ διερχόμεναι τὸ θύμα τοῖς ποσί. Τὸ δὲ ἀνθεμόεσσαν, γράφεται καὶ ὀτημόεσσαν. Ἐρείκην. ἐρείκη δέ ἐστι δένδρον,

Ἀθρόος· ὠχραίνει δὲ ῥέθος, πίμπρησι δὲ χεῖλη,
Δεσμὰ δ' ἐπεγχαλάουσι γενειάδος. ἐκ δέ τε παύρης
Αὐχένος ἑλκόμενον ψυχρὸν διανίσσεται ἆσθμα.
Πολλάκι δ' ἠὲ πελιδνὸς ὄνυξ μόρον, ἠὲ καὶ μυκτὴρ
Στρεβλὸς ἀπαγγέλλει. ὅτε δ' αὖ κοιλωπέες αὐγαί,
Ἄσσα σὺ μὴ δείδιθι, μέλοιο δὲ πάμπαν ἀρωγῆς.
Ὀνάδι καὶ γλυκόεντι περὶ κεκαφηότα πιμπλὰς
Τινθαλέῳ. ποτὲ δ' ἔργα διαθρύπτοιο μελίσσης
Ἄμμιγα πιπνύων ὑμηττιάδος. αἵ τ' ἀπὸ μόσχου
Σκήνεος ἐξεγένοντο δεδουπότος ἐν νεμέεσσιν.
Ἔνθα δὲ καὶ κοίλοιο κατὰ δρυὸς ἐκτίσσαντο
Πρῶτόν που θαλάμους συνομήρεες. ἀμφὶ δὲ ἔργων
Μνησάμεναι δηοῖ πολυωπέας ὤπασαν ὄμπνας,
Βοσκόμεναι θύμα πᾶσι καὶ ἀνθεμόεσσαν ἐρείκην.
Δή ποτε δ' ἠροδίοιο νέον θύος εὔτριχι λίνῳ
Ὀχλίζων κυνόδοντα, τότ' ἠμύουσι χαλινοῖς

Κεκαφηότα δὲ πιμπλὰς, ἀντὶ τοῦ ὀλιγοψυχοῦντα πληροῖς. Καὶ τινθαλέῳ, θερμῷ, διαπύρῳ. Ἔργα δὲ μελίσσης, ἀντὶ τοῦ σύμμιγε καὶ μέλι μετὰ θερμοῦ οἴνου. Ὑμηττιάδος δὲ, ἀττικοῦ, ἀπὸ Ὑμηττοῦ τοῦ ὄρους ἀττικοῦ. Αἵ τ' ἀπὸ μόσχου. αἱ μέλισσαι ὥς φησιν αὐτός, ἵππων μὲν, σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν. Κατὰ δρυός. παλαιάν τινα μελιτουργίαν ἐκτίθεται. μήπω γὰρ ἡμερουμέναι αἱ μέλισσαι ἀλλ' ἔτι ἄγριαι οὖσαι, ἐν τοῖς κοιλώμασι τῶν δρυῶν τὰ κηρία συνετίθεσαν. καὶ νῦν ἔτι εἰσὶν ὅτι τοῦτο ποιοῦσιν. Ἄλλως. ἔνθα δὲ κοίλοιο. τοῦτο καὶ Ἡσίοδος, Ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας. καὶ Φωκυλίδης,

Κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα,
Ἢ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
Ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σίμβλων, καὶ τὰ ἑξῆς. φησὶ δὲ ὅτι ἐν τῷ Ὑμηττῷ πρῶτον ἐγένοντο μέλισσαι. Συνομήρεες δὲ, συνερχόμεναι βοτρυδόν. Πολυωπέας, πολλὰς ὀπὰς ἐχούσας. τοιαῦτα γὰρ τὰ κηρία. Ὄμπναι, οἱ μέλιτι δεδευμένοι, καὶ πυροί. Καλλίμαχος, Ἐν δὲ θυαῖσι φλογὶ καιομένας ὄμπνας. τοὺς γὰρ δήμητρι ἔθυον. Νίκανδρος δὲ ἰδίως εἴρηκε

ὧν τὰ φύλλα οἱ μυούμενοι ὑποστρωννύουσι διὰ τὸ ψυκτικὰ εἶναι, καὶ ἁγνά. ἔστι γὰρ τὸ ἁγνεύειν, ἀγονεύειν, καὶ χωρὶς γονῆς μένειν. Δή ποτε δ' ἠροδίοιο. τοῦ στόματος φησὶ μεμυκότος, βιάζειν διανοίγειν αὐτό. Διοχλίζων τὸν κυνόδοντα καὶ ἐριννίου μᾶλλον βαθὺν κορίσκων ἕλκοιο, ἀντὶ τοῦ ἕλκει τὸ ἴδιον μετὰ τοῦ ἐρίου τὸ ῥόδιον ἔλαιον ἐμβάλλων. Εὔτριχι γὰρ λίνῳ, τῷ ἁπαλῷ, καὶ εὐτρίχῳ ἐρίῳ. Ἄλλως. καὶ εἰ μύουσιν οἱ πάσχοντες, τοὺς συμμεμυκότας χαλινοὺς αὐτῶν ἀνοίγειν. Ἐνθλίβοις τῷ ἐρίῳ, βοηθείας χάριν. ἐνθλί-

βοις δὲ

βοις δὲ, ἀντὶ τοῦ πιέζοις. Καὶ ἰρινέου, τοῦ κυπρίου ἐλαίου φησὶν, ὅ ἐστι θερμαντικόν. Καὶ μορόεντος, ἀντὶ τῆς μορείας. καὶ Ὅμηρος, Τρίγληνα μορόεντα. Διὰ ῥέθος ἔγρεο. κατὰ τὸ πρόσωπον τύπτων καὶ πλήσσων ἔγειρε. Κνώσσοντα μαλάσσων, ἀντὶ τοῦ κοιμώμενον κινῶν, καὶ στί-

καταντλᾶν τοῖς θερμοῖς, ἵνα τὸ συντεταμμένον δέρμα διαλυθῇ. Ἐμβάπτεο δὲ σάρκα. τοῦ πάσχοντος δηλονότι ἄγε ἐκεῖνον αὐτόν. κυρίως δὲ ἐπαιονᾶσθαί ἐστι, τὸ ἐπ' ὕδατος λούεσθαι. νῦν δὲ τὸ ἐπὶ ζειθαλέοις, ἤγουν θερμοῖς ὕδασιν. Αἷμα δὲ ἀναλυόμενος, ἀντὶ τοῦ τὸ θρομβῶσαν

Ἐνθλίβοις, μᾶλλον δὲ βαθὺν κεκορεσμένος ἕλκοις.
Ἠὲ σὺ ἰρινέου ποτὲ δ' αὖ μορόεντος ἐλαίης.
Αἶψα δὲ τὸν δ' ἑκάτερθε διὰ ῥέθος ἔγρεο πλήσσων,
Ἄλλοτε δ' ἐμβοόων· ὁτὲ δὲ κνώσσοντα μαλάσσων,
Ὄφρα κατηβολέων ὀλοὸν διὰ κῶμα κεδάσσῃ,
Τῆμος δ' ἐξερύγῃσιν ἀλεξόμενος κακὸν ἄλγος.
Σπεῖρα δ' ἐνὶ χλοερῷ λίπει, ἠὲ δὲ νέκταρι βάπτων
Τρῖβε, σὺ ἐκθέρμαινε περὶ δ' ἐψυγμένα γυῖα.
Ἄλλοτε δ' ἐν δροίτῃσι κεράων ἐμβάπτεο σάρκα,
Αἶψα δὲ ζειθαλέοισιν ἐπαιονάασθε λοετροῖς,
Αἷμ' ἀναλυόμενος, τέτανόν τ' ἐσκληκότα ῥινόν.
Εἰ δ' ἤτις δὲ λαγοῖο κακοφθορέος πόσιν ἔμπης
Οὐλομένην, τὸν κῦμα πολυστείου τέκεν ἅλμης,
Τοῦ δή τοι λεπίδων μὲν, ἰδὲ πρυμαρὲς πέλει ὀδμὴ,
Γρυθμὸς δ' ἰχθυόεις νεπόδων ἅτε σαπρωθέντων,
Ἠὲ καὶ ἀπλώτων, ὁπόταν λεπὶς αὐξίδα χραίνῃ,
Ὃς δή τοι ῥυπόεις μὲν ὑπ' ὀσλίγγεσιν ἀραιαῖς

αἷμα τοῦ παθόντος διὰ τὴν ἐκ τῆς δηλητηρίου ψύξιν ἀναλύων τῇ θέρμῃ τῶν λουτρῶν. Τέτανόν τ' ἐσκληκότα ῥινόν. τὸ κατεσκληκὸς δέρμα φησί. Λαγοῖο κακοφθορέος, τοῦ θαλασσίου λαγωοῦ, ὅς ἐστιν εἶδος ἰχθύος. καὶ Ἱππῶναξ μνημονεύει. ἔστι δὲ μέλας τὴν ἐπιφάνειαν, θανάσιμος δὲ βρωθείς. τοῦ μὲν ὀσμὴ, ταῖς τῶν ἰχθύων λεπίσι καὶ τῷ ἀποπλύματι αὐτῶν ἔοικεν. ἡ δὲ γεῦσις, ἰχθύων σεσηπότων γεύσει ὁμοία ἐστί. Κακοφθορέος δὲ, κακῶς φθείροντος. Καὶ πολυστείου ἅλμης, ἤγουν τῆς πολυψόφου θαλάσσης. στεῖαι γὰρ αἱ ψῆφοι τῆς θαλάσσης. Νεπόδων δὲ, ἰχθύων. Καὶ σαπρυνθέντων, ἀντὶ τοῦ σαπρωθέντων. Ὁπότ' ἂν λοπὶς αὐξίδα. ἢ

ων, ἀνάστησον, ὅπως κεφαλαλγῶν, τὸν ὀλέθριον ὕπνον ἀποβάλλῃ, καὶ τὸ κακὸν πόνον ἐξεμέσῃ βοηθούμενος. Κῶμα. τὸ μεταξὺ ὕπνου καὶ ἐγρηγόρσεως κατὰ φορὰν κῶμα καλοῦσιν, ὅθεν καὶ κωμάζειν, τὸ ἐπιφοιτᾶν τοῖς κοιμωμένοις. Τὸ δὲ τῆμος ἐξερύγῃ, ἀντὶ τοῦ τηνικαῦτα ἐξεμέσῃ ἀποβάλων τὸ κακὸν ἄλγος. Ἀλλὰ καὶ σπεῖρα, ἤγουν ῥάκη βρέχε ἐν οἰνελαίῳ, τρίβε, καὶ ἀναθέρμαινε. Ἄλλοτ' ἐν δροίτῃ, ἐν πυέλῳ, κελεύει δὲ αὐτὸν ἐν πυέλῳ, ἤγουν ἐν σκάφῃ θερμοῦ ὕδατος καθῆναι, καὶ

ὅταν ἡ λοπὶς τὴν ὅλην αὐξίδα μολύνῃ, τουτέστι τὸ σῶμα φθείρῃ, καὶ ἀφανίζῃ. αὐξὶς γὰρ τὸ σῶμα. καὶ γὰρ μετὰ τὸ ἀγρευθῆναι οἷον δήποτε ἰχθὺν, εἰ μείνῃ ἐπ' αὐτοῦ τὸ λέπος αὐτοῦ, ἀφανίζει αὐτὸν, καὶ ὄζειν ποιεῖ. Ὃς δή τοι ῥυπόεις. ὁ λαγωὸς νεωστὶ γεννηθεὶς, ὅμοιός ἐστι ταῖς θριξίν. ἤγουν κατὰ τὰς τρίχας τῆς τευθίδος. Ἢ ἅτε τεύθου, τουτέστι τοῦ ἄρρενος. Ὑπ' ὀσλίγγεσιν, ἐπειδὴ γλοιώδης ὑπάρχει. ὀσλίγγας δὲ λέγει τοὺς βοστρύχους, ὅ ἐστι τὰς κόμας τῶν τευθίδων, καὶ σηπιῶν, ἐν

ἔτι ἄρτι γεννώμενοι οἱ θαλάσσιοι λαγωοὶ ἐοίκασι ζίβουσι. Χολῇ δὲ, τῇ μέλανι. Ἀγρώστορος. ἐπειδὰν γὰρ ἴδῃ τὸν ἁλιέα, ἐκβάλλει τὸ μέλαν εἰς τὴν θάλασσαν, ἵνα ἀθεώρητος ᾖ. τοῖς δὲ πίνουσιν ἀκολουθεῖ σκότωσις χολώδης, ἰκτερώδης. τοῦτο γάρ φησι τῶν ἤτοι ζοφόεις, τουτέστι τῷ φαγόντι τὸν λαγωόν.

τῷ κάμνοντι, ἵνα τῆς κοιλίας ῥοιζηθείσης συγκριθῇ, καὶ τὸ τοῦ φαρμάκου κακὸν συναπέρρεψε γῇ. Φοινήεσσαν δὲ εἴρηκε, τὴν τοῦ μέλανος ἐλλεβόρου πόσιν. Τὸ κάμωνος, κατ' ἔνδειαν τοῦ σ. λέγει δὲ τὸν σκαμμωνίας χυλόν. Ἐκφύσματα δὲ χεύῃ, ἀντὶ τοῦ κόπρια καὶ σκύβαλα

Περισταλάδην δὲ, ἀντὶ τοῦ οὐκ ἀθρόαι, ἀλλ' οἷον κατὰ σταλαγμὸν ἐλαττοῦνται. ὁ δὲ λόγος, αἱ δὲ σάρκες, οἷον κατὰ σταλαγμὸν ἐκ τοῦ κατ' ὀλίγον τηκόμεναι καὶ καταστάζουσαι, φθείρονται. ὁ δὲ, ζοφερὸν οὐ προσίεται. Ἄλλοτε ῥινός. ἀρσενικῶς εἶπεν, ὁ ῥινός. τουτέστι, τὸ δέρμα. καὶ τοῦ δέρματος κατὰ τὴν ἐπιφάνειαν γίνεται ἔπαρμα. μάλιστα δὲ τὰ σφυρά. περὶ δὲ τὰ τοῦ προσώπου μῆλα γίγνονται οἰδήματα ἐν ἐρυθήματι. Κυλοιδιόωντος δὲ, τοὺς ὀφθαλμοὺς διοιδοῦντος. καὶ κοίλους ἔχοντος. κοῖλοι γάρ. Δὴ γὰρ ἐφωμάρτησεν. ἐπακολουθεῖ γὰρ καὶ ὀλιγωτέρα ἔκκρισις τῶν οὔρων. ποτὲ μὲν πορφυρὰ, ποτὲ δὲ αἱματώδης, διὰ τὸ ξύνδακνα τὰ ὦτα. πᾶς δὲ ἔλλοψ, τουτέστιν ἰχθὺς φανεὶς,

Τευθίδος ἐμφέρεται νεαλὴς γόνος. ἢ ἅτε τεύθου,
Ἢ ἅτε σηπιάδος φυξήλιδος. ἥ τε μελαίνῃ
Οἴδματα χολῇ δολόεντα μαθοῦσ' ἀγρώστορος ὁρμήν,
Τῶν ἤτοι ζοφόεις μὲν ἐπὶ χλόος ἔδραμε γυίοις
Ἰκτερόεις, σάρκες δὲ περισταλάδην μινύθουσι
Τηκόμεναι. τὰ δὲ δόρπα κατέστυγεν. ἄλλοτε ῥινός
Ἀκρομερὴς ἐπιδαίων σφυρὰ πίμπραται. ἀμφὶ δὲ μήλοις
Ἄνθεά τε βρυόεντα κυλοιδιόωντος ἐρεύθει.
Δὴ γὰρ ἐφωμάρτησεν ὀλιζοτέρη κρίσις οὔρων
Ἄλλοτε πορφυρέη, τότ' ἐπιπλέον αἱματόεσσα,
Πᾶς δὲ περὶ δρακέεσσι φανεὶς ἐχθαίρεται ἔλλοψ.
Αὐτὰρ ὁ ναυσιόεις ἁλίην ἐμυδάξατο δαῖτα,
Τῶν μὲν, φοινήεσσαν ἅλις πόσιν ἐλλεβόροιο
Νείμαιας. ποτὲ δάκρυ νεοβδάλτοιο κάμωνος,
Ὄφρα προπρηνέος τε κακοῦ ἐκφύσματα χεύῃ.
Ἄλλοτε βρωμήεντος ἀμελγόμενος γάλα πίνοι.
Ἠὲ χύτρῳ τήξας μαλάχης ῥυπόωντας ὀράμνους.
Καὶ τότε κεδρινέης πελάνου βάρος ἔμμορε πίσσης.

τοῖς ὀφθαλμοῖς αὐτοῦ μισεῖται, τουτέστιν, ἐὰν ἴδῃ ἰχθὺν, ἀποστρέφεται. τοῦτο γὰρ σημαίνει τὸ ἐμυδάξατο. Ἀπεμυκτήρισε, παρητήσατο τοῦτον, ὡς καὶ ναυτιάσαι, καὶ ἐμέσαι ὑπὸ τῆς ἀηδίας βιαζόμενος. Τῶν μὲν φοινήεσσαν. γράφεται τῷ μὲν φοινήεσσαν, ἀντὶ τοῦ φονικήν. ἡ γὰρ τοῦ ἐλλεβόρου πόσις, ἐν φονικῇ δοκεῖ εὑρεθῆναι. κελεύει δὲ ἐλλέβορον ἢ σκαμμωνίαν διδόναι πίνειν

ἐκβάλλει. Καὶ βρωμήεντος, τοῦ ὄνου, παρὰ τὸ βρωμᾶσθαι. Κεδρινέης. κεδρίαν νῦν λέγει, εἰ καὶ πίσσαν αὐτὴν εἶπε. πᾶν γὰρ τὸ ἀποστάζον πίσσαν καλεῖ. Πελάνου δὲ βάρος, ἀντὶ τοῦ ὀβολοῦ ὁλκήν. οὐ γὰρ μόνον τὸ πέμμα, ἤγουν τὸ ἕψημα, πέλανος λέγεται, ἀλλὰ καὶ ἡ τοῦ ὀβολοῦ ὁλκή. Ἄλλως. τῆς πεπηγυίας κεδρίνης πίσσης. λέγει δὲ τὴν κεδρίαν

Οἰνωπῆς, εἶδος ῥοιᾶς, καὶ οἰνάδος. Καὶ προμένειον δὲ, εἶδος ῥοιᾶς. ὠνόμασε δὲ αὐτὴν ἀπό τινος προμενείου κρητός. Καὶ τὴν αἰγινήτην δὲ, καὶ ὅσα τὰ σκληρὰ κάρφη, ἤγουν τοὺς ἀπαλοὺς κόκκους, κατ' ἀντίφρασιν, τῇ ἰσχνῇ καλύπτρα καλύπτουσιν. ἢ ὅτι κάρφη, τὰ λέπη, τοὺς φλοιούς. κατασκεύασμά τι ἐκ λεπτῶν χονδρίων γεγονὸς, ᾧ καὶ οἱ μυρεψοὶ χρῶνται πρὸς τὴν τῶν μύρων ἔκθλιψιν, ὑλιστήριον αὐτὸ καλοῦντες, ἢ καὶ ὑλιστήριον. καὶ ὁ στρεπτὴρ δὲ κατασκεύασμά τι ἐστὶν, ἐν ᾧ τὰς σταφυλὰς ἀποθλίβουσι. λέγει οὖν, σταφυλὴν δίδου πιεῖν ἐθέλουσαν. Ην δέ τις ἀζαλέῃ. ἐὰν δέ τις φησὶ ξηρᾷ συνεχόμενος δίψῃ, καὶ προσπεσὼν ἐπί τινα ποταμὸν ἢ λίμνην, πίνει ταυρηδὸν, τῇ δὲ βίᾳ τοῦ ἑλκυσμοῦ προσπέσῃ βδέλλα, καὶ τὰ ἑξῆς. Ἰστέον δὲ, ὅτι ἀπὸ τῆς βδέλλας γίνεται ὁ οἶστρος. Θρία δὲ, κυρίως μὲν τὰ τῆς συκῆς φύλλα. νῦν δὲ τῶν μνίων φησὶ, τουτέστι τῶν βρύων. Τοῦ μέν τε ῥοιζηδά. λείπει τὸ, πίνοντος. τοῦ δὲ φησὶ ῥοιζηδὰ πίνοντος, ὑφ' αἵματι βδέλλα προσπελάζουσα ἐπὶ τὰ χείλη αὐτοῦ τῆς βρώμης ἕνεκα, τῇ ῥύμῃ τοῦ ποτοῦ, ἤτοι τῇ φορᾷ καὶ τῇ ὁρμῇ, προὔτυψε παρὰ τῇ λαπάρᾳ αὐτοῦ ἱμείρουσα καὶ τοῦ φόνου. Ἄλλως. Ῥύμῃ ἅλις. βούλεται εἰπεῖν, ὅτι φερομένη τῇ τοῦ ὕδατος ὁρμῇ ὅπου ὁ ῥοῦς αὐτὴν ἐλάσῃ καταστραφεῖσαν, ἀθρόως προσφύεται ἀμέλγουσα τὸ αἷμα.

Βρύκοι δ' ἄλλοτε καρπὸν ἅλις φοινώδεα σίδης
Κρηστίδος, οἰνωπῆς τε, καὶ ἣν προμένειον ἔπουσιν,
Σὰν δὲ καὶ αἰγινήτην, ὅσαι τὰ σκληρέα κάρφη,
Φοίνι' ἀραχνήεντα διαφράσσουσι καλύπτρῃ.
Ἄλλοτε δ' οἰνοβρῶτα βορὴν ἐν κυρτίδι θλίψας,
Ὡς πάρος ὀτλεύουσαν ὑπὸ στρέπτῃσιν ἐλαίην.
Ἢν δ' ἔτ' ἐς ἀζαλέῃ πεπιεσμένος αὐχένα δίψῃ,
Ἐκ ποταμοῦ ταυρηδὸν ἐπιπροπεσὼν ποτὸν ἴσχῃ,
Λεπτὰ διαστείλας παλάμῃ μνιώδεα θρῖα,
Τοῦ μέν τε ῥοιζηδὰ σὺν ἀλλαίματος ἐμπελάουσα
Ῥύμῃ, ἅλις προὔτυψε ποτοῦ μετὰ χείλεϊ βρώμης
Βδέλλα. πάρος λαπάρῃ τε σὺν ἱμείρουσα φόνοιο.
Ἢ ὅτ' ὑπὸ ζοφερῆς νυκτὸς κεκαλυμμένος αὐγὰς
Ἀφραδέος κρωσσοῖο κατακλίνας ποτὸν ἴσχῃ,
Χείλεσι πρὸς χείλη πιέσας, τὸ δὲ λαιμὸν ἀμείψῃ,
Κνώδαλον ἀκροτάτοισιν ἐπιπλῶον ὑδάτεσσι,
Τὰς μὲν, ἵνα πρώτιστον ὀχλιζομένας ῥόος ὤσῃ,

Ἄλλως. διαφράσσουσι καλοῦσι τῇ ἰσχνῇ περιβολῇ τῶν κόκκων. ὅσα φησὶ τὰ σκληρὰ καὶ φοίνια, ἤγουν ἐρυθρὰ κάρφη, τουτέστι τοὺς ἐρυθροὺς κόκκους τῇ ἀραχνώδει καὶ ὑμενώδει καλύπτρᾳ διαφράσσουσι. τουτέστι τοῖς ἔσωθεν τοῦ δέρματος ὑμέσι. Ἄλλοτε δ' οἰνοβρῶτα, τὴν ἐν οἴνῳ φησὶ βαπτομένην βοράν. τουτέστι τὴν σταφυλὴν ἐν κυρτίδι θλίψας, καὶ οἱονεὶ ἐκπιέσας, δίδου αὐτοῖς πιεῖν, οἱονεὶ γλεῦκος, ὃ λέγεται ἐν συνηθείᾳ, μοῦστον. Ἄλλως. κυρτὶς κατὰ ... Ἢ ὅτ' ὑπὸ ζοφερῆς νυκτὸς, ἢ ὅτι ὑπὸ τῆς ζοφώδους νυκτὸς κεκαλυμμένος τὰς αὐγὰς, ἤγουν τοὺς ὀφθαλμοὺς, τὰ χείλη αὐτοῦ πρὸς τὰ χείλη τῆς ὑδρίας πιέσας, καὶ κατακλίνας ἰσωπὸν, ἀφραδέως τὸ ποτὸν ἴσχῃ. Τὰς μὲν ἵνα πρώτιστον. μετέβη ἀπὸ τοῦ ἑνικοῦ εἰς τὸ πληθυντικόν. ταύτας δὲ τὰς βδέλλας φησὶν ὅπου ἂν ὁ ῥοῦς ὤσῃ, καὶ τὰ ἑξῆς.
Ἀμαλγόμεναι δὲ, ἀντὶ τοῦ πιεζόμεναι, ἤτοι πιέζουσαι.

ζουσαι. Καὶ τὸ πύλῃσιν ἐφήμεναι, τουτέστι τοῦ πινόμενος ταῖς πύλαις, ἢ τῇ ἀρχῇ τοῦ λαιμοῦ, ἤτοι τῷ φάρυγγι, ἢ τοῦ ἥπατος, ἢ τοῦ στομάχου. Πέριξ δὲ ἐπενήνοθε γαστρὸς, ἀντὶ τοῦ ὅτε τῷ στόματι τῆς κοιλίας ἐπιδίκηται λαμβάνουσαι τὴν προσφάτως ἐσθιομένην τροφήν. Τὸ δὲ ἐπενήνοθεν, ἀντὶ τοῦ ἐπιδίκηται. πάλιν δὲ ἀνέδραμεν ἀπὸ τοῦ πληθυντικοῦ ἐπὶ τὸ ἑνικόν. Νέην δ' ἐπενείματο δαῖτα, ἤτοι ἣν ἄρτι ἔφαγε, διημείβετο, καὶ ἐπιβοσκήθη. Τὸ σὺ, ἤτοι τῷ καταπίνοντι τὴν βδέλλαν, νείμειας, ὅ ἐστι δοίης συγκεκραμένην τοῦ ὄξους ψυχρὰν πόσιν. Χιονόεσσαν γὰρ, τουτέστιν ὑπὸ χιόνος παγεῖσαν. Καὶ τὸ νέον Βορέῃσι παγέντος, ἀντὶ τοῦ νέως Βορέαις πνοαῖς παγέντος τοῦ κρυστάλλου. Ἠὲ σὺ γυρώσαιο, ἀντὶ τοῦ σκάψας, ὀρύξας. Καθαλμέα δὲ βώλακα, τὸν ὑφάλμυρον βῶλον τῆς γῆς. λέγει δὲ τὸ ἅλας, ἢ τὸν ὀρυκτὸν ἅλα. ἐν ἁλμυροῖς γὰρ τόποις οὐ γίνεται ἡ βδέλλα. διόπερ πρὸς τὸ ἁλμυρὸν ὕδωρ, πρὸς ἀντιπάθειαν αὐτοῦ. ἅλμην δὲ κελεύει πιεῖν καππαδοκικοῦ ἁλός. Ναιομένην δὲ, ἤτοι πατουμένην, οἰκουμένην, ὑποβιωμένην. Τὸ θαλερὴν δὲ, γράφεται καὶ θολερὴν, διότι ὠφέλιμός ἐστιν. Ἢ αὐτὴν ἅλα βάπτε. ἢ αὐτήν φησι τὴν θάλασσαν, τουτέστι τὸ θαλάσσιον ὕδωρ διδόναι πιεῖν, ποτὲ μὲν ἡλίῳ θερμαίνοντι, ποτὲ δὲ πυρί. βάπτε δὲ, ἀντὶ τοῦ ἄντλει, γέμιζε. Καὶ ἠελίοις ὀπωρινοῖς, τουτέστι ταῖς ἡμέραις. καὶ, Τότ' ἠνεκὲς, ἀντὶ τοῦ διηνεκὲς τῷ πυρὶ θάλψας. Ἅλα δὲ πηκτὸν, τὸν ὀρυκτὸν, τὸν ἐκμέταλλον. Καὶ ἐμπίσαις, ἀντὶ τοῦ ἐμμίξαις τὴν ἄχνην. λέγει δὲ τὸν ἀφρὸν, ὅν τινα ὁ ἁλοπηγὸς ἀνὴρ συνάγει. Καὶ τὸ, νεόθ' ὑφισάμενον, ἀντὶ τοῦ κάτωθεν ἐκ βάθους συνιστάμενον τοῦ κράματος τῶν ἁλῶν, ἐπὰν δύο μίξιν λάβωσιν. Ἴσον ὅτι οἱ ἁλοπηγοὶ μιγνύουσι τοῖς θαλασσίοις ὕδασι γλυκέα ὕδατα, καὶ συνταράσσουσιν ἀμφότερα, ὥσπερ ἀποπλύναντες τὰ θαλάσσια ὕδατα τοῦ βρώμου τοῖς γλυκέσιν. ἐν γοῦν τῷ ταράσσεσθαι, ἀφρός τις ἀναδίδοται, ὅν τινα λέγουσιν ἄχνην ἁλός. Μὴ μὲν δὴ ζύμωνα κακόν. καὶ ζύμωνα εἶπε τὸν μύκητα, ἐπειδὴ ζύμωνα ἔοικε τῆς γῆς, τουτέστι πηλοῦ. ὅμοιος γάρ ἐστι βώλῳ γῆς. Ἄλλως. ζύμωνα κακὸν τὸν μύκητά φησιν, ἐπειδὴ ἐκ τῆς γῆς γεννᾶται. δύο δὲ ὅτι μὲν ἐν τοῖς στέρνοις ἀνοιδοῦσιν, ὅτι δὲ καὶ περὶ τὸν λαιμὸν ἀνίσταται

Ἀθρόα προσφύονται ἀμελγόμεναι χροὸς αἷμα.
Ἄλλοτε μέν τε πύλαισιν ἐφήμεναι, ἔνθα τε πνεῦμα
Αἰὲν ἀθροιζόμενον, στεινοῦ διανίσσεται ἰσθμοῦ.
Ἄλλοτε δὲ στομίοισι πέριξ ἐπενήνοθε γαστρὸς,
Ἀνέρα πημαίνουσα, νέην δ' ἐπενείματο δαῖτα.
Καὶ σὺ τότ' ἐν δεπάεσσι κεραιόμενον πὲρ ὄξευς
Νείμαις. ποτὲ δ' αἶτα συνήερα χιονόεσσαν,
Πολλάκι κρυστάλλοιο νέον Βορέῃσι παγέντος.
Ἠὲ σὺ γυρώσαιο καθαλμέα βώλακα γαίης
Ναιομένην. θαλερὴν δὲ πόσιν μενοεικέα τεύξαις,
Ἢ αὐτὴν ἅλα βάπτε. τότ' ἠελίοισι δαμάζων,
Εἴθαρ ὀπωρινοῖσι. τότ' ἠνεκὲς ἐν πυρὶ θάλψας.
Πολλάκι δ' ἢ ἅλα πηκτὸν ὁμιλαδὸν, ἢ ἁλὸς ἄχνην
Ἐμπίσαις, τήν τ' αἰὲν ἀνὴρ ἁλοπηγὸς ἀγείρει
Νεόθεν ὑφισαμένην, ὁπόθ' ὕδασιν ὕδατα μίξῃ.
Μὴ μὲν δὴ ζύμωνα κακὸν χθονὸς ἀνέρα κήδοι,

ὁ ἀπ' αὐτοῦ τοῦ γίνωνται. ὅτι δὲ αὐξάνουσιν οἱ μύκητες, ὅταν φυασῶσιν ἐν τῷ τόπῳ ὅπου ἐφώλευεν ἔχιδνα. ζύμωμα δὲ αὐτὴν ἐκάλεσεν, ἐπειδὴ ἀναζυμοῦνται ἔσωθεν μὴ πεπεμμένα, ἢ ὅτι ὥσπερ ζυμώματα εἰσὶ τῆς γῆς. Ἄλλοτε δ' ἄγχον. οἱ μὲν φασι πόαν τινὰ εἶναι, πλησίον τοῦ φω-

καθολικῶς μύκητας ὅλους καλοῦσιν, διότι ἀμανίτας. Ἄλλο κέκριται ὄνομα. πολυώνυμον γάρ ἐστι τὸ ζύμωμα. ὁ δὲ καλεῖται ζύμωμα μύκης, ἀμανίτης βῶλος. Σύ γ' ἢ ῥαφάνοιο. δίδου φησὶ τὸν καυλὸν, ἤγουν τὴν κεφαλὴν τῆς κράμβης, τουτέστι τὸν ἀσφάραγον, ἐπειδὴ ῥαφάνους τὰς κράμβας φησίν. εὔχρυσον δὲ πρὸς ἀντιπάθειαν.

Πολλάκι μὲν στέρνοισιν ἀνοιδέον. ἄλλοτε δ' ἄγχον,
Εὖτ' ἐπὶ φωλεύοντα βαφῇ βαθὺν ὁλκὸν ἐχίδνης
Ἰὸν ἀποπνεῖον. σομίων δ' ἀποφώλιον ἆσθμα
Κεῖνο πρὸν ζύμωμα. τὸ δ' οὐχ' ὑδέουσι μύκητας
Παμπήδην. ἄλλῳ γὰρ ἐπ' οὔνομα κέκριται ἄλλο.
Ἀλλὰ σύ γ' ἢ ῥαφάνοιο πόροις περιρώδεα κόρσην,
Ἢ ῥυτῆς κλώνοντα περὶ σπάδικα κολούσας.
Πολλάκι καὶ χαλκοῖο πάλαι μεμογηότος ἄνθην.
Ἄλλοτε κληματόεσσαν ἐν ὄξει ῥύπτεο τέφρην.
Δή ποτε ῥιζίδα τρῖβε πυρῖτιδα, βάμματι ῥαίνων
Ἠὲ λίτρον, ποτὲ φύλλον ἐναλδόμενον πρασιῇσι
Καρδαμίδος, μύδον τε, καὶ ἐμπρίοντα σίνηπι,
Σὺν δὲ καὶ οἰνηρὴν φλογιῇ τρύγα τε φρώσαιο.
Ἠὲ πάρος στρουθοῖο κατοικάδος. ἐκ δὲ βαρεῖαν

Ἢ ῥυτῆς. ῥυτῆς δὲ, ἤγουν πηγάνου χλωρὸν θάλλοντα καὶ χλοάζοντα ῥάβδον, ὅ ἐστι κλάδους κόψας. γράφεται καὶ ῥάδικα, ἤτοι κλῶνα. Χαλκοῖο δὲ, ἤγουν παλαιᾶς χαλκάνθης. προσάρας δὲ χαλκοῦ ἄνθος πιεῖν. Κληματόεσσαν. κληματίδος φησὶ θρύψαι σποδὸν ἐν τῷ ὄξει. τουτέστιν, ἔμβαλε σποδὸν κλήματος ἐν ὄξει. Πυρῖτιδα δὲ, βοτάνην, πύρεθρον καλουμένην. Καὶ βάμματι ὄξει. Ποτὲ φύλλον, ἤγουν καὶ τὸ τοῦ καρδάμου φύλλον τὸ ἐν ταῖς πρασιαῖς αὐξανόμενον. Ἄλλως. ποτὲ δὲ φύλλον, ἀντὶ τοῦ τὸ καρδάμου φύλλον τὸ ἐν ταῖς πρασιαῖς αὐξανόμενον. καὶ, Μύδον δὲ, τὸ μυδικὸν καλούμενον. ἔστι δὲ εἶδος φυτοῦ.

λεοῦ τῆς ἐχίδνης φυομένην, καὶ τὸ ἆσθμα αὐτῆς ἀνιμωμένην αὐτήν. ἄλλοι δὲ ἐκ τῆς ἱδρῶτος τῶν ὄφεως. Τὸ δὲ πολλάκι μὲν στέρνοισιν ἀνοιδέον, καθὸ βρωθέντες οἱ μύκητες, ἀνοιδοῦσιν ἐν γαστρί. Καὶ τὸ εὖτ' ἐπιφωλεύοντα, ἀντὶ τοῦ ὅτι βαφῇ περὶ τὸν φωλεύοντα βαθὺν ὁλκὸν τῆς ἐχίδνης. ἤγουν περιφραστικῶς, περὶ τὸν βαθὺν φωλεὸν τῆς ἐχίδνης. Ἰὸν ἀποπνεῖον, ἤγουν τὸν ἰὸν αὐτῆς ἀποπνέον τῶν σομίων τῆς ἐχίδνης. γράφεται δὲ καὶ ἀνιμάζων, τουτέστιν, ἀνιμώμενον. καὶ ἀναπίνεται τὸν ἰὸν, καὶ τὸ ἀποφώλιον, ὅ ἐστι χαλεπὸν ἆσθμα, τουτέστι, τὴν χαλεπὴν πνοὴν τῆς ἐχίδνης τῶν σομίων. τὰς μύκητας δὲ, διαφόρως ζυμώματα καλοῦσι. Παμπήδην δὲ, ἀντὶ τοῦ πανταχοῦ οἱ πλεῖστοι, οἱ

* Μύδον τε. γράφεται μῦλον. ἔστι δὲ τὸ μυδικὸν μῆλον, ὅ ἐστι τὸ κρανέτζιον.

Καὶ ἐμπρίοντα σίνηπι, τὸ τραχὺ ὂν τῇ γεύσει. ὃ περὶ τῶν οἱ κλάδοι τοῦ σινάπεως τραχύτητα ἔχουσιν. Οἰνηρὴν δὲ, ἀντὶ τοῦ οἴνου τρύγα, καὶ ὀπτὴν ἐν ὄξει τρίψας δίδου πιεῖν. Ἢ καὶ στρουθοῖο πάτον. ἀφόδευμα ὀπτὸν ὄρνιθος κατοικίδιος. παραλ λοιπὸν δὲ τὸ, μετά τινος δεῖ πίνειν αὐτὸ, εἰ μὴ καθάπερ τὰ προειρημένα μετ' ὄξους. Βαρεῖαν δὲ χεῖρα, τὴν δεξιάν. ταύτην φησὶ καθεὶς ἐπὶ τὸ ἐμέσαι, ὡς ἐπιτηδειοτέραν μὲν καὶ πρακτικωτέραν. τούτην μὲν οὖν εἰς τὸν φάρυγγα καθιεὶς, καὶ λάχοιο

τὴν ὅλην κατάκαυσιν. Λιπορρίνοιο. ἡ δὲ ἡ σαλαμάνδρα ζῶόν ἐστι τετράπουν, μικρόν, ὡς ἡ σαῦρα, τῷ χρώματι κροκοδείλῳ ἐοικός. ψυχρὸν δὲ τὴν φύσιν. διὸ καὶ τὸ πῦρ σβεννύει. οὔτε δέρμα ἔχει, οὔτε λεπίδα. ὅθεν καὶ λιπορρίνη αὐτὴν ἔφη. ῥινὸς γὰρ τὸ δέρμα. ἢ διότι λίπος ἀφίησιν ἀπὸ τοῦ δέρματος. γλίσχρος γάρ ἐστι, καὶ λιπώδης, καὶ ἀπὸ τοῦ σώματος ὑγρασίαν ἐξίησιν, ἥτις τὸ πῦρ σβεννύει. Ἄλλως. ἡ σαλαμάνδρα εἶδος ἀσκαλαβώτου. Ἀνδρίας δέ φησιν κἂν τῷ αἵματι αὐτῆς αἱ χεῖρες, ἢ ἱμάτια χρίσῃς, ἀβλαβεῖς ἔσεσθαι ἐκ πυρός. Δυσάλυκτον δέ, ἀντὶ τοῦ δύσφυκτον. τὸ δὲ γλώσσης βάθος, περιφραστικῶς, ἀντὶ τοῦ ἡ γλῶσσα ἐπρήσθη. τῶν πινόντων γάρ φησιν ἡ γλῶσσα παχύνεται. ἔνιοι δὲ σφαλλόμενοι, τετράποδες σύρονται καθάπερ βρέφη. αἱ δὲ διάνοιαι αὐτῶν, ἀμαυροῦνται καὶ ἀφανίζονται. Σάρκα δ' ἐπιτροχόωσιν, ἀντὶ τοῦ ἐπιτρέχει τῇ σαρκὶ πελιδνότης, διὰ τὴν ἐργασίαν. Καὶ ἐπιπορθμευομένης τῆς κακίας, ἤγουν σκεδαννυμένης, ἢ σκιδναζούσης. καὶ τὰ ἑξῆς. Βούλεσθαι δὲ δηλοῖ, ῥητίνην πευκίνην ἀναμίσγειν ταύτην τῷ μέλιτι, σμώδιγγες ὅνται κατὰ σύνταξιν τῆς σαρκὸς στάζουσιν. ἐὰν δὲ στίζουσι, γράφεται καθάπερ οἱ στιζόμενοι. γράφεται δὲ στίζουσαι, ἵν' ᾖ σημαῖνον τὸ ποικίλως πελιδνοῦσθαι, καθάπερ τῆς στιζομένης. Καὶ δαιομένης δέ, ἀντὶ τοῦ μερίζομένης πανταχοῦ τῷ σώματι. Τενθρήνης. καὶ τὴν τενθρηδόνα εἶπε τὴν τενθρηδόνα. ζῶόν ἐστι μελισσοειδές, ὃ ὑπ' ἐνίων λέγεται βέμβιξ. ἔστι δὲ ἐμφερὴς μελίσσῃ. Ἄλλως. τενθρήνη, εἶδος μελίσσης. ἣ ὅπου αἱ μέλισσαι διατρίβουσιν. ἐκεῖ αὐτὴ εἶναι τὸ μελίσσιον. λύεται δὲ κατὰ συγκοπὴν τὸ τενθρηδόνος. ἢ θαλασσαλικοῦ. Ὅμηρος, Πρόθοος τενθρηδόνος υἱός. Ἄλλως. ἐπεὶ καὶ ἡ τενθρηδών, ἣ ἐστι μελίσσης εἶδος, ποιεῖ ἔργα. παραμελύνεται δὲ ἐκ τούτου λαμβάνεται. Η τῆς χαμαιπίτυος οἱ στρόβιλοι. συνεψήσας οὖν φησι, τοῖς τούτοις φύλλοις τῆς χαμαιπίτυος φησὶ τῆς βλαστήμονος ἀναμεμιγμένους καθεψήσας τὰ φύλλα καὶ τοὺς κλῶνας ὅσους ἐβλάστησεν ἡ πεύκη, τουτέστιν, ὅλα ὁμοῦ σύμμικτα ἑψήσας, δίδου πιεῖν. ὁμωνύμως λέγεται ὁ καρπὸς ὁ στρόβιλος, καὶ ὁ κλών. Ἄλλοτε δὲ σπέρμα, ἤγουν κνίδης σπέρμα ξηρόν. ἢ αὐτὴν ξηρὰν κελεύει κόψαι, καὶ ὀρόβου ξηροῖς ἀλεύροις ἐν ἐλαίῳ μίξαντι διδόναι φαγεῖν εἰς κόρον. Μυλοεργεῖ δὲ παλήματι τρίβειν, ἀντὶ τοῦ ὑπὸ μύλου κατεργασθέντι ἀλεύρῳ τοῦ ὀρόβου ξηραίνειν

Χεῖρα κατεμμαπέων ἐρύκοις λωβήτορα κῆρα.
Ἢν δὲ λιπορρίνοιο ποτὸν δυσάλυκτον ἰάψῃ
φαρμακίδος σαύρης πολυκηδέος, ἣν σαλαμάνδρην
κλείουσι. τὴν, οὐδὲ πυρὸς λωβήσατο λιγνύς,
αἶψα μὲν ἐπρήσθη γλώσσης βάθος. ἂψ δ' ὑπὸ μάλκης
δάμναται. ἐμβρύθων δὲ κακὸς τρόμος ἅψεα λύει.
οἱ δὲ περισφαλέοντες, ἅτε βρέφος ἑρπύζουσι,
τετράποδες, νοσαὶ γὰρ ἀπὸ φρένες ἀμβύνονται.
σάρκα δ' ἐπιτροχόωσι μολυβλέες ἄκρα πελιδναὶ
σμώδιγγες στάζουσι κελαινομένης κακότητος.
τῶν δὲ σὺ πολλάκι μὲν πεύκης ἀπὸ δάκρυα μόσχας,
τενθρήνης ἀναμίγδα πόροις ἐν πίοσιν ἔργοις.
ἠὲ χαμαιπίτυος βλαστήμονος ἄμμιγα κώνοις
φύλλα καθεψήσαιο, ὅσους ἐψήσατο πεύκη.
Ἄλλοτε δ' ἐν ἐσχάδος κνίδης μυλοεργέι μίστων,
τρισσαίνοις ὀρόβοιο παλήμασι. καί ποτε κνίδην

καὶ φρύγειν, καὶ τὰ ἑξῆς. Εψαλέην, ἤγουν ἑψημένην, ξηρανθεῖσαν ὑπὸ ἡλίου. καὶ αὐτὴν δὲ τὴν κνίδα συνεψῶν, πότε δὲ μίσγε ἀλεύρῳ ὀρόβου, ἢ καὶ κριθίνῳ μετ' ἐλαίου. Χαλβανόεσσαν. καὶ ἡ ἐκτίνη, καὶ μέλι, καὶ ῥίζα χαλβάνης, καὶ ᾠὰ χελώνης διδόναι καλοῦ ἑψήσαντα ὑπ' ἀνθράκων.

ἐποίησε τῷ Απόλλωνι, ἀντὶ τῶν βοῶν. μυθεύεται γὰρ ὡς ἀδελφὸν ὁ Απόλλων, ἔβοσκεν αὐτοῦ τὰς βόας, ἃς ἔκλεψεν ὁ Ερμῆς. καὶ φωραθεὶς, ἔδωκεν αὐτῷ ἀντὶ λύρας τὴν κιθάραν τὴν ἐκ τῆς χελώνης αὐτῷ κατεσκευασμένην τὴν λεγομένην χέλυν. ὅθεν καὶ λύρα ἐκλήθη, ὡσονεὶ λύτρα τις οὖσα ὑπὲρ τῶν βοῶν. Κυζοσκνόμου δὲ, ἐπειδὴ χελώνης εἴδη δύο, ὄρειον καὶ θαλάσσιον. ὧν αἱ ὄρειναι χελῶναι ὑπ' αὐτῶν πληροῦνται, ὥσπερ αἱ ὄρτυγες. ἢ τῆς ἐν κυτίνῳ διατριβούσης. κύτινοι δὲ, αἱ διεξανθήσεις τῶν ῥοιῶν. Χέλυον αἰόλον. ἀντὶ τοῦ ὄστρακον ποικίλον. Καὶ ἀγκῶνας δύο, ἤγουν κανόνας, ὅθεν δέδενται αἱ νευραί. Καὶ πέζαις, τοῖς ὤμοις. τοῖς ὤμοις φησὶ τοῦ ὀστράκου αὐτοῦ δύο παρέθηκε πήγματα, ἃ φησιν ἀγκῶνας. Γρύνων δὲ, βατράχων. καὶ λαιδροὺς, τοὺς ἀναιδεῖς, διὰ τὸ βοᾶν ἀεὶ τῇ φωνῇ βαχυτέρᾳ. Δαμάσαιο τοκῆας. τοὺς γερύνων φησὶ, τουτέστι τῶν μικρῶν βατράχων τοὺς ἀναιδεῖς. πράσσων, ἢ ῥίζας, ἢ ῥύσου, ὅ ἐστιν εἶδος βοτάνης προσπαίασων ἀμμωνιακὸν, καὶ χορτάσας, ὑγιάσεις τὸν κάμνοντα. Αλλως. χύτρῳ σκαμμώνιον. τούτοις εἰ κορέσεις τὸν ἄνθρωπον, καὶ θανάτῳ πλησίον ἐλθόντα σώσεις. Ην γε μὲν. ποτὲ δὲ φρύνου διαλέγεται, ὅς ἐστι βατράχου εἶδος. εἰς δὲ τὸν τέλειον λόγον, προσληπτέον τὸ, τίς. ἔνιοι δὲ ἀγνοοῦντες, γράφουσι μετὰ τοῦ σ, δύσφημον ποιοῦντες τὸν λόγον. δύο οὖν γένη εἰσὶ βατράχων, χειμερινοί τε καὶ θερινοί. ὧν οἱ μὲν θερινοὶ, κράκται εἰσὶ, καὶ ἀβλαβέστεροι. οἱ δὲ χειμερινοὶ, ἄφωνοι, καὶ θανάσιμοι. Η οὕτω. φρύνου, ἀντὶ τοῦ φωνητι-

Εψαλέην κρίμνοισι παλυνάμενος ψαφαροῖσιν,
Εν λίπεϊ χραίνοιο. βορῆς δ' ἀέκοντα κορέσκοις.
Ναὶ μὴν ἐκτίνη τε καὶ ἱερὰ ἔργα μελίσσης,
Ρίζα τε χαλβανόεσσα, σὺν ᾠεὰ θιβρὰ χελώνης.
Αλθαίνει καὶ γλύτα συὸς φλιδόωντες ἀλοιφῇ,
Αμμίγδην ἁλίοιο καθεψηθέντα χελώνης
Γυίοις, ἢ ταχινῇσι διαπλώει πτερύγεσσιν.
Αλλοτε δ' οὐρείης κυζοσκνόμου, ἥν τ' ἀκάκητα
Αὐδήεσσαν ἔθηκεν, ἀναύδητόν περ ἐοῦσαν
Ερμείας. σαρκὸς γὰρ ἀπεγύμνωσε χέλειον
Αἰόλον. ἀγκῶνας δὲ δύω παρετείνατο πέζαις.
Καί τε σύ γ' ἢ γρύνων λαιδροὺς δαμάσαιο τοκῆας,
Αμμιγα δὲ ῥίζας ἢ ξυγγίδας. ἐν δὲ ἐπαρκὲς
Θάλπε βαλὼν χύτρῳ σκαμμώνιον. δὶς δὲ κορέσκων
Ανέρα, καὶ θανάτοιο πέλας βεβαῶτα, σαώσεις.
Ην γε μὲν ἐκ φρύνοιο θρεομένου πόμ' ἴσχῃς,

* Αλθαίνει καὶ γλύτα. ἐν ἄλλῳ οὕτως,
Αλθαίνει τότ' ἔνερθε πυρὸς ζαφλεγέο κεραίης.
Τὸ δὲ, ἔνερθε πυρὸς ζαφλεγέο κεραίης, τὸ ἄγαν σφοδρῶς ἐν τῇ ἀσβόλῃ τῶν κεράμων ἑψηθῆναι ταῦτα, δηλοῖ. κεραία δὲ λέγεται τὸ ἄκρον καὶ ἔσχατον. ἡ χαλβάνη δὲ, ὀπός ἐστιν ἐκ τῆς ῥίζης τῆς πανάκου πεπηγμένος. Αλίοιο δὲ, θαλασσίου, ἢ ἐνύδρου. Η ταχινῇσι. γράφεται, ἥ τ' ἄκρῃσι διαπλώει. Πτερύγεσσι δὲ, ἀντὶ τοῦ ποσί. τούτοις δὲ νήχεται. Αλλοτε δ' οὐρείης. ἢ χερσαίας χελώνης, ἢ ὀρεινῆς. Αὐδήεσσαν δὲ, διὰ τὴν λύραν ἣν

χοῦ. εἰσὶ δὲ καὶ κωφοὶ, καὶ ἄφωνοι. ὧν πρὸς ἀντιδιαστολὴν, εἶπε φρύνης, τουτέστι φωνητικοῦ. ἔστι δὲ καὶ ἔμφυτος βατράχῳ, ἀλλὰ τῶν ὀφθαλμῶν μείζονας ἔχει. ταῖς ῥίζαις δὲ τῶν καλύκων, ἢ τῆς θάμνου προσκάθηται ὁ φρῦνος. Θερόμενος δὲ, τουτέστιν ἐν τῷ θέρει κατεσκευασμένον εἰς δηλητήριον. τῶν ὑποφανέντων δὲ τοῦ δέρματος κεντοῦντες, πρηθοῦσι δαιμονιῶσαν. εἶτα τὸν ἰχῶρα τοῦτον λαβόντες, σμίγουσι βρώσει καὶ πόσει. καὶ οὕτω διδόντες, ἀναιροῦσιν. ὁμογενῆ δὲ τὰ ζῷα εἰσίν. ὁ δὲ κωφὸς, βάτραχός ἐστιν, ἀλλ' οὐ φρῦνος. Ἠέ τοι καὶ κωφοῖο. ἤτοι τοῦ ἀφώνου καὶ δασέος. προσφύεται δὲ, οὐ προσκάθηται. Καὶ μορόεις, ὁ κακοποιός. ἤγουν ὁ μόρον ἄγων. Καὶ λιχμώμενος ἕρσην, ἀντὶ τοῦ ζητῶν, ἢ λείχων τὴν δρόσον. Τῶν, ἤτοι θερόεις μέν. θερόεις μὲν δὲ τούτων ὑπὸ τῇ θερείᾳ τὸ ἀπ' αὐτοῦ φάρμακον συντίθεται, ὃ δυναμικώτερόν ἐστιν. Ἄγχι δὲ χλόον, δηλονότι τῶν φαρμακευομένων. οἱ δὲ φαρμακευθέντες φασὶν ὠχροὶ γίνονται. ὅτι δὲ οὐ πᾶς βάτραχος ὑποτύφεος, ἀλλ' ὁ ἐν θερμοτέροις διατρίβων τόποις. καὶ Ἀπολλόδωρος δέ φησι τὴν αὐτὴν πόσιν ἀπὸ οἴνου δοτέον. ἡ δὲ θάψος, ἔστιν εἶδος βοτάνης χλωρᾶς, ᾗ προσεικάζει τὴν χροιὰν τοῦ κάμνοντος. τὸ δὲ ἆσθμα αὐτοῦ, ἀθρόον συνάγεται, καὶ ἡ ἀναπνοὴ δυσώδης ἐστί. Καί τε σπλῆν. καὶ ἡ τῆς λιμναίας καὶ πολυλάλου φρύνης, τῆς βοώσης κατ' ἀρχὴν τοῦ ἔαρος. σπλῆν, τὸ κακὸν βάρος τοῦ ὀλεθρίου ἐκείνου φαρμάκου. τοῦτο δὲ λείπει, ἐβοήθησε τῷ κάμνοντι βρωθεὶς ὀπτός. Θυμάρμενον δὲ ἔαρ, τὸ θυμηρέστατον, τὸ τῇ ψυχῇ ἡρμοσμένον. Αὐτὰρ ὅ γ' ἄφθογγός τε. δυτὸς δὲ κέρβερος καλεῖται ἄφθογγος ὤν. ἐντεῦθεν δὲ περὶ τοῦ ἀλάλου διαλαμβάνει, ἐπειδὴ ἄνω περὶ τοῦ εὐλάλου εἶπεν. Ἄλλοτε δ' ὑγραίνει. φύσιν οὕτω, τουτέστιν ἀγόνους κατασκευάζει τοὺς ἄνδρας καὶ τὰς γυναῖκας, διὰ τὸ ὑπὲρ πολὺ ἐξυγραίνειν τὸ σπέρμα, ὥστε ἐκ τῶν αἰδοίων ῥεῖν. διονεὶ δὲ διαλυομένου τοῦ σώματος, ῥοώδεις γίνονται. Ἄλλως. χολόεν στόμα. ἤτοι χολαῖς ὑγραίνει τὸ στόμα, τουτέστι χολῆς ἀποπληροῖ. Καρδιόωντα δέ. ἤτοι τὴν καρδίαν ἀλγοῦντα. Καὶ καταικμάζων, ἀντὶ τοῦ καταστάζειν ποιῶν ἄνευ γονῆς. Σκεδάζων γυίοισι τελέσκει, ἀντὶ τοῦ σκορπίζων τὸν σπόρον τοῖς μέλεσιν, ἀποτελεῖ ἀγόνους τοὺς φαρμακευθέντας, κἄν τε ἀνὴρ ᾖ, κἄν τε γυνή. Ἀφυσγετὸν δὲ, ἀντὶ τοῦ πολὺ, δαψιλὲς, ἀφύσιμον, καὶ ἀρρύσιμον. Ἢ πίθου φλογῇ.

Ἠὲ καὶ κωφοῖο λαχειδέος, ὅς τ' ἐνὶ θάμνοις
Εἴαρι προσφύεται μορόεις λιχμώμενος ἕρσην,
Τῶν ἤτοι ῥαδίξ μὲν ἄγχι χλόον ἠΰτε θάψου.
Γυῖα δὲ πίμπρησιν, τὸ δὲ, συνεχὲς ἀθρόον ἆσθμα
Δύσπνοον ἐκφέρεται, περὶ χείλεσι δ' ἐχθρὸν ὀδωδεν.
Ἀλλὰ σὺ τοῦ, βατράχοιο καθεψέος, ἠὲ καὶ ὀπτὴν
Σάρκα πόροις. ὁτὲ πίσσαν ἐνὶ ἡδέϊ μίσγεο οἴνῳ,
Καί τε σπλῆν' ὀλοοῖο κακὸν βάρος ἤρκεσε φρύνης.
Λιμναίης φρύνης πολυηχέος, ἥ τ' ἐπὶ φύκει
Πρώτην ἀπαγγέλλουσα βοᾷ θυμάρμενον εἶαρ.
Αὐτὰρ ὅ γ' ἄφθογγός τε καὶ ἐν δονάκεσσι θαμίζων.
Πολλάκι μὲν πύξοιο χλόον κατεχεύατο γυίοις.
Ἄλλοτε δ' ὑγραίνει χολόεν στόμα, καί ποτε λυγμοὶ
Ἀνέρα καρδιόωντα θαμινότεροι κλονέουσιν.
Δὴν δὲ καταικμάζων ἄγονον σπόρον ἄλλοτε φωτὸς,
Πολλάκι θηλυτέρης σκεδάων γυίοισι τελέσκει.

γῇ. λέγει δὲ αὐτόν φησιν ἐν πίθῳ διθύρῳ ἐνθέντι, ξηροπυρίαν λαμβάνειν, ὥσπερ οἱ ὑδρωπικοί. Ἐναλθῆ δὲ, ἤγουν θεραπείας δεόμενον. γράφεται καὶ ἀναλθῆ. Θερμάσσαιο δὲ, ἀντὶ τοῦ θέρμαινε. Καὶ τὸ χέαι δ' ἀπὸ νήχυτον ἱδρῶ, τουτέστιν, ἵνα ἱδρώσῃ τὸν πολύχυτον ἀντὶ τοῦ ἱδρῶτα. Καὶ

θανάσιμα. ἡ δὲ φαρμακεία ἡ διὰ τῶν βατράχων γιγνομένη, ἔστιν αὕτη. λαμβάνουσι καὶ κατακεντοῦσιν ὅλον τὸ σῶμα, φυλασσόμενοι κατὰ βάθος περιεῖναι τὰ κεντήματα. αὐτὴν δὲ μόνην παίοντες τὴν ἐπιφάνειαν τῆς σαρκὸς, καὶ εἰς ἀπίστωτον σταμνίον βαλόντες, μικρὸν ὕδωρ ἐπιρραίνουσι. καὶ τὸ ἀπορρέον τούτων συμμίσγουσι βρωτῷ ἢ ποτῷ, καὶ οὕτως ἀναιροῦσι. Νήχει δὲ, ἀντὶ τοῦ περιπατεῖ. δύο δέ εἰσι κυπείρου, ἀρσενικόν τε καὶ θηλυκόν. φιλόζωον δὲ αὐτό φησι, διὰ τὸ τὴν ῥίζαν ἔχειν στερεωτάτην. Αὐτόν τ' ἠνεκέεσσι. περιπάτοις ἀναγκάζει αὐτὸν χρῆσθαι μακροῖς. μήτε βρωτὸν, μήτε ποτὸν προσφέροντα τὸ σῶμα ξηραίνοντα ἵνα κατισχνωθῇ. Καὶ κατατρύσαιο δὲ γυῖα. ἀντὶ τοῦ κατίσχνωσον αὐτοῦ τὰ μέλη. Ἐχθομένη δ' ἐστι. καὶ τοῦ λιθαργύρου τὸ πόμα θανάσιμόν ἐστι. μάλιστα δὲ οἱ περὶ Ἀπολλόδωρον αὐτό φασι διδόασθαι μετὰ φακοῦ, ἢ πιαστῆς, ἢ πλακοῦντος. διὰ τὸ μὴ λανθάνειν ὁμοχροοῦν. φησὶ δὲ τοῖς ἐγχεομένοις παρέπεσθαι βάρος κατὰ τῆς κοιλίας. μετὰ δὲ τὴν μέσην αὐτὴν, πνεῦμα βορβορίζον ἀνειλεῖσθαι. τὰ δὲ μέλη, πιμπρᾶσθαι. τὴν δὲ χροίαν, ἐοικέναι μολίβδῳ. Πνεύματ' ἀνειλίσσοντα, ὅπερ ἐμπνευματοῦσι παραπλησίως στρόφῳ, ἢ λύγγι. Εἰλίγγοιο δὲ δυσαλθέος, τοῦ κοιλιοστρόφου φησίν. Οὐ μὴν τῶν γ' οὔρων. γράφεται καὶ, οὐ μὴν τῶν γ' οὔρων, ἀντὶ τοῦ κακωθέντι ὑπὸ τοῦ λιθαργύρου, καὶ οὕτω. καὶ ἡ τῶν οὔρων ῥύσις κατέχεται. τὰ δὲ μόρια πίμπρανται. καὶ τὸ, Εἰδόμενα χροιὴν, ἀντὶ τοῦ ὡμοιῶσθαι. Τῷ δ' ὅτε

Ναὶ μὴν τοῖς ὅτε νέκταρ ἀφυσγετὸν ἐν δεπάεσσιμ
Χεύοις. εἰς ἔμετομ δὲ καὶ οὐ χατέοντα πελάζοις.
Ηὲ πίθου φλογιῇ θάλψας κύτος αἰὲμ ἐναλθῆ
Ἀνέρα θερμάσσαιο. χέαι δ' ἀπὸ νήχυτον ἱδρῶ.
Καί τε καὶ αὖ ξηρῶν δονάκων ἀπὸ ῥίζεα κόψας,
Οἴνῳ ἐπεγκεράσαιο. τὰ δή θ' ὑπετέτροφε λίμνη
Οἰκείη. τόθι λεπτὰ δι' ἐκ ποσὶμ ἕρπετα νήχει.
Ηὲ φιλοζώοιο κυπείριδος, ἠὲ κυπείρου.
Αὐτὸμ τ' ἠνεκέεσσι τρίβοις παναπασσὸμ ἐδωδῆς,
Καὶ πόσιος ξήραινε, κατατρύσαιο δὲ γυῖα.
Ἐχθομένη δ' ἔστ' εἰ μὴ καὶ λιθάργυρος ἀλγινόεσσα
Λύσσῃσιν. τότε γαστρὶ πέσῃ βάρος. ἀμφὶ δὲ μέσσομ
Πνεῦμα τ' ἀνειλίσσοντα κατ' ὀμφαλὸμ βρομέουσι.
Οἷά περ εἰλίγγοιο δυσαλθέος, ὅς τε δαμάζει
Ἄνδρας ἀπροσφώτοισιμ ἐνιπλήσσωμ ὀδύνῃσιμ.
Οὐ μὴν τῶν γ' οὔρωμ ἄνυται ῥύσις. ἀμφὶ δὲ γυῖα

αὖ ξηρῶν δονάκων, ἤτοι τῶν μεγάλων. γράφεται καὶ, ὄνθρος. ἢ ξηρῶν, τῶν αὐχμηρῶν. Πραξαγόρας δέ φησι τὸ χλωρὸν τῶν καλάμων ἐσθιόμενον, ὠφέλιμον ὑπάρχειν τοῖς * τοῖς οἴνῳ πεφαρμακευμένοις. τῷ οἴνῳ φησὶν ἐν ᾧ τὰ ἀποβρέγματα τῶν ῥιζῶν τῶν καλάμων εἰσίν. ἢ τοῦ κυπείρου ἀναμίξαι αὐτοῦ νῆστιν. Ὑπετέτροφε δὲ, εἰκεῖ ἐν ταῖς τῶν καλάμων ῥίζαις, ἣ ἔτραφε ὑπὸ λίμνῃ. Οἰκείη δὲ, ἤγουν ἑκάστη οἰκειουμένη αὐτοῖς. Καὶ ἑρπετὰ, τοὺς μικροὺς βατράχους. δύο δὲ αὐτοῦ εἴδη. τὸ μὲν, κρακτικὸν, τὸ δὲ, ἄφωνον. ἀμφότερα δὲ

* ὑπὸ φρύνων

μὲν, δύο ὀβολοὺς σμύρνης. ἄλλοτε οὔρειον, ὅ ἐστιν ὀρεινὸν ὑπέρεικον. ἄλλοτε ὁρμίνιον. ἔστι δὲ εἶδος βοτάνης. ἄλλοτε νασώπου κλάδους. Κράδην δὲ, τὴν ἀγρίαν συκῆν. Σπάδικας σελίνου, τοῦ ὀρεοσελίνου καλουμένου. φυτὸν δὲ τοῦτό ἐστι διουρητικόν. Ἴσθμιον). ἡ ἱστορία εὔγνωστός ἐστι πᾶσι τοῦ ἀγῶνος τοῦ μελικέρτου. στεφανοῦσι δὲ οἱ κορίνθιοι. ἄγεται δὲ ὑπὲρ μελικέρτου ὁ ἰσθμιακὸς ἀγὼν, ἐν ᾧ ὁ στέφανος ἦν πρότερον τοῖς νικῶσιν ἀπὸ σελίνου, ὕστερον δὲ ἀπὸ πίτυος. Γίγνεται δέ, φησιν, ἐπὶ σινιδικὸν θυσία διαβαίνουσι. ὁ δὲ προσειλῶν τῷ παιδὶ θεῷ τε λεῖος. οἱ πλεῖστοι δέ φασι, τιμῆς ἕνεκα τοῦ μελικέρτου. Ῥυσίμου. καὶ κατὰ ῥύσιμον δέ ἐστιν εἶδος βοτάνης. ἰδίως δὲ ἀντὶ ἐρύκει χωρὶς τοῦ ε, ὃ τινὲς πήγανόν φασιν. Ὀμυρία δὲ, ἀντὶ τοῦ ὁμοῦ μίξας. Κύπρου τε βλαστεῖα. οἱ μὲν, εἶδος φυτοῦ τὴν κύπρον φασίν. οἱ δὲ, τὰ ἀπὸ τῆς κύπρου νέα βλαστήματα. καὶ τῆς κύπρου φασὶ τὰ νεοθαλῆ βλαστεῖα, καὶ τῆς σίδης, τοῦτ' ἔστι τῆς ῥοιᾶς. Πρωτογόνου κυτίνου. τὸν ἀνθήμονα καρπὸν μετὰ οἴνου λεάνας, παράσχε αὐτῷ πιεῖν. κύτινον δὲ, τὸ ἄνθος τῆς ῥοιᾶς, ὅπερ αὐξηθὲν, ῥοιὰ γίγνεται. Μὴ μὲν δὴ σμίλον. ὁ σμίλος φυτόν ἐστιν ἐλάτῃ ὅμοιον, διὸ καὶ ἐλατηΐδα εἶπε. περὶ τῆς σμίλου φησὶν Ἀνδρίας περὶ αἰτωλῶν πληθύνειν. καὶ τὰ ἐγκοιμηθέντα ὑπ' αὐτῇ ἀποθνήσκειν. ὁ δὲ Θεόφραστος περὶ μὲν τῶν ἀνθρώπων οὐδὲν εἴρηκεν, αὐτὸ δὲ μόνον, ὅτι τὰ κολόφορα τῶν ζώων γευσάμενα, ἀποθνήσκειν. κολόφορα δὲ εἰσι, βόες. ἡμίονοι. Καλλίμαχος δὲ ἑρπετά. τὰ ἀεὶ τὴν οὐρὰν λοφιῶν. Οἰταίην δὲ, τὴν αἰτίαν γιγνομένην, ἢ τὴν ἐν Οἴτῃ φυομένην, ὄρει τῆς αἰτωλίας. Χαλικροτέρα δὲ, ἀντὶ τοῦ ἀκρατοτέρα. ἡ πόσις οἴνου πολλὴ παραχρῆμα ἰᾶται. Καὶ τὰ μὲν οὖν Νίκανδρος, ἕως ὧδε, ταῦτα μετὰ ὁ

ὁλμυσάμενα

Πίμπρατῃ. αὐτὰρ τοῦ μολίβδῳ εἰδόμενον χροιήν.
Τῷ δ' ὁτὲ μὲν σμύρνης ὀδελοῦ πόρε διπλόον ἄχθος.
Ἄλλοτε δ' ὁρμίνοιο νέην χύσιν. ἄλλοτε κόψας
Οὐρείην ὑπέρικον. ὅτ' αὖ νασώπου ὀροδάμνους.
Πολλάκι δ' ἀγριόεντα κράδην ἀπέκοψας σελίνου
Ἴσθμιον. ᾧ τ' ὑπὲρ ἄσσον ἀλίβαπτον Μελικέρτην
Σισυφίδαι κτερίσαντες ἐπηέξησαν ἀέθλους.
Ἠὲ σύ γ' ἐν πέπλοισι ῥυσίμου ἐννομήρεα κόψας,
Οἴνῳ δ' ἐντρίψαιο. κακῆς δ' ἀπερύκεο νούσου.
Κύπρου τε βλαστεῖα νεανθέα πολλάκι σίδης,
Πρωτογόνου κυτίνοιο πόροις ἀνθήμονα καρπόν.
Μὴ μὲν δὴ σμῖλον σὺ κακὴν ἐλατηΐδα μάρψαις
Οἰταίην. θανάτοιο πολυκλαύτοιο δότειραν.
Ἦ τε καὶ ἐμπλείουσα χαλικροτέρη πόσις οἴνης
Οἷ' ἐπαλαλθήσαις παρὰ χρέος. ἀλλ' ἵνα φωτὸς
Ἰσθμιά τε καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον.
Καὶ τὰ μὲν ὦν Νίκανδρος ἑῇ ἐγκάτθετο βίβλῳ
Μοχθήεντα μύκητα περὶ ἀνέρι φαρμακόεντα.

Νίκανδρος τῇ ἰδίᾳ κατέθετο βίβλῳ τὰ περὶ θηρία καὶ φαρμακώδη ἑκάστῳ ἀνδρί· τὰ ἐκ τῶν μυκήτων. λείπει δὲ τό, γιγνόμενα. ἢ τὰ μύκητας, ὅ ἐστι τὰ δηλητήρια. Ἄλλως. περὶ ἀνέρι. ἡ περὶ πρὸς τὸ κατέθετο. ἵν' ᾖ, περικατέθετο ἀνδρὶ ἑκάστῳ ἐν τῇ ἰδίᾳ βίβλῳ. Μοχθήεντα δὲ, ἀντὶ τοῦ περίεργα. ἢ οὕτως. τὰ περὶ φαρμάκων μύκητι κακοπαθοῦντι ἀνθρώπῳ. ταῦτα δὲ βε-

νθύματα

...θήματα ἐν τῇ ἰδίᾳ β... Πρὸς δ' ἔτι σοι δίκτυννα... ὥς τινος ... δὲ τῶν ... κλῶνας ἐμίσησεν ἡ δίκτυννα. ... φησὶ γὰρ ἀντὶ τοῦ ὅ... κλῶνας μισεῖ, καὶ μόνη. αὕτη ἡ μυρσίνη τῆς ἰμβρασίας ἥρας οὐχ ὑπεδέξατο τὸ στέφος, τουτέστιν, οὐκ

ἤρισαν θεαί. ἀ... τούτῳ. τῶν ἰδαίων ἐκόσμησαν αἱ θεαὶ τοῖς ἄνθεσι τῶν βοτάνων, καὶ ταῖς λόχμαις. ἔνθα δὲ περὶ κάλλους εἰς ἅμιλλαν κριθησόμεναι παραγίνονται. δίκτυννα δὲ καὶ ἡ ἄρτεμις λέγεται. καὶ τὸ, Τίνος, ἧς τὸν θ... ἐμίσησε. Τῆς σύ γ' ἀπ' εὐύδροιο νάπης. ταύτης οὖν φησι τῆς μυρσίνης τὸ εὐανθὲς ὄφελος. ὁ δὲ καρπὸς αὐτῆς ὠφέλιμός ἐστι τοῖς πάσχουσιν, ὅ ἐστι τὸν καρπὸν τὸν πορφυροῦν, τὸν συναύξοντα ταῖς χειμεριναῖς νυξὶν, οἱονεὶ τῷ ἔαρι. ἢ τὸν συναύξοντα ταῖς χειμεριναῖς πνοαῖς, ἢ ἡμέραις. μᾶλλον γὰρ τῷ χειμῶνι ἀνθεῖ τοῦτον φησι τὸν καρπὸν ἀπὸ τοῦ εὐύδρου νάπους, λαβὼν καὶ θαλφθέντα ταῖς τοῦ ἡλίου ἀκτῖσι. λεάνας, τουτέστι ξηρανθέντα λεάνας, καὶ τὸν χυλὸν διὰ ὀθόνης ἢ κυρτίδος ἐκπιέσας, δίδου κοτύλην τὴν μέτρῳ πεπληρωμένην ἐν κυάθοις, ἢ καὶ κοτύλης πλεῖον. Εὐαλθὲς δὲ, τὸ εὐανθὲς ὄφελος. Καὶ ἠελίοιο βολῇσιν, ἤτοι ταῖς ἀκτῖσι. καὶ σχοινίδι κύρτῃ, τῇ ἐκ σχοίνου πεποιημένῃ. Ονήιον δὲ, ὠφέλιμον. Καὶ ἄρκιον, βοηθητικὸν, καὶ ὠφελιμώτατον. Ὑμνοπόλοιο, τοῦ ἐν τοῖς ὕμνοις, καὶ ᾠδαῖς, καὶ ποιήμασιν ἀναστρεφομένου, τουτέστι ποιητοῦ. ἐν τῷ μεμνῆσθαι τοίνυν ἡμῶν, τὸν νόμον φυλάσσοις τοῦ ξενίου Διός. Μνῆστιν δὲ ἀντὶ τοῦ μνείαν.

Πρὸς δ' ἔτι σοι δίκτυννα πὰρ ἐχθήρατο κλῶνας.
Ἥρης τ' ἰμβρασίης μούνης στέφος οὐχ ὑπέδεκτο,
Κάλλεος οὕνεκα κύπριν ὅτ' εἰς ἔριν ἠερέθησαν
Ἀθάναται κόσμησαν ἐν ἰδαίοισιν ὄρεσιν.
Τῆς σύ γ' ἀπ' εὐύδροιο νάπης εὐαλθέες ὄγχνας
Καὶ τὴν πορφυρόεντα συναλδέα χειμερίῃσιν
Ἠελίου θαλφθέντα βολῇς δοίδυκι λεαίνας
Χυλὸν ὑπὲρ λεπτῆς ὀθόνης, ἢ σχοινίδι κύρτῃ
Ἐκθλίψαντα τριῶν κυάθων κοτυληδόνα πλήσῃ,
Ἢ πλεῖον. πλεῖον γὰρ ὀνήιον. οὐ γὰρ ἀνιγρὸν
Πῶμα βροτοῖς. τότε γάρ τε καὶ ἄρκιον ἤνικε πίνθα.
Καί κ' ἔνθ' ὑμνοπόλοιο καὶ εἰσέτι Νικάνδροιο
Μνῆστιν ἔχοις. θεσμὸν δὲ Διὸς ξενίοιο φυλάσσοις.

... στέφος τῆς ἰμβρασίας ἥρας, διότι κάλλους ... εἰς ἔριν διηγέρθησαν αἱ ἀθάναται θεαί. ὅτι τὴν κύπριν ἐκόσμησεν αὕτη ἡ μυρσίνη. Ἐν τοῖς τῆς ἴδης, ἐν τοῖς κατὰ τροίαν ὄρεσιν. Ἄλλως. καὶ ἡ μυρσίνη φησὶ βοηθεῖ. ἧς τοὺς κλῶνας ἐμίσησεν ἡ δίκτυννα, καὶ μόνη οὐκ ἐδέξατο τὸ τῆς ἰμβρασίας ἥρας στέφος, ὅτι τὴν ἀφροδίτην ἐκόσμησεν, ὅτε περὶ κάλλους αἱ ἀθάναται

ΤΕΛΟΣ ΝΙΚΑΝΔΡΟΥ
ΑΛΕΞΙΦΑΡΜΑΚΩΝ.

צִיר אֱמוּנִים לְמַרְפֵּא



Orandum est ut sit mens sana in corpore sano.

Οὐκ ἔστιν ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ.

ሰሽ፯:ዘወፕበብ:ፌወሽ::